ναμένους ὑπεράνω τῆς ὕλης ὑψωθῆναι, χρηστούς δὲ τοὺς ὑπὸ τοῦ μή μετέχοντος θήλεος, ἀλλ' ἀῤῥενος μόνον ἔρωτος ἐπίπνους τοὺς ἐπὶ τὸ ἄῤῥεν καὶ φύσει ἐῤῥωμενέστερον καὶ μᾶλλον νοῦν ἔχον τρεπομένους καὶ ἀγαπῶντας καὶ οὐδαμῶς τῷ σώματι τὸν νοῦν προσέχοντας 181 C. *Μετὰ ταῦτα ἐξετάζει ἀντιβολικῶς τοὺς διαφόρους περὶ τε ἐραστῶν καὶ παιδικῶν νόμους τῶν πόλεων, οἷς κακὴ χρῆσις καὶ τρόποι κακοί ἐραστῶν καὶ παιδικῶν προὐκάλεσαν· οἱ γάρ ἀγαθοὶ τὸν νόμον αὐτοὶ ἑαυτοῖς ἑκόντες τίθενται* 181 E, *καὶ πως καὶ φιλοσοφεῖ ἀσύμφορον τῇ τυραννίδι καὶ βαρβαρότητι τήν τε φιλοσοφίαν καὶ φιλογυμναστίαν ἡγούμενος, δι ἧς φρονήματα μεγάλα ἐγγίγνονται τῶν ἀρχομένων φιλίαις ἰσχυραῖς καὶ κοινωνίαις δι' Ἔρωτος.*

Ἐν Ἀθήναις δέ φησι καὶ οἱ θεοὶ καὶ οἱ ἀνθρωποι πᾶσαν ἐξουσίαν πεποιήκασι τῷ ἐρῶντι, ὡς ὁ νόμος φησίν, ὥστε πάγκαλον νομίζεσθαι ἐν τῇδε τῇ πόλει καὶ τὸ ἐρᾶν καὶ τὸ φιλους γίγνεσθαι τοῖς ἐρασταῖς· ἀφ' ἑτέρου ὅμως οἱ ὑπό τῶν πατέρων διοριζόμενοι παιδαγωγοὶ, τὸ ὄνειδος τῶν ἡλικιωτῶν ποιεῖ πάλιν αἴσχιστον τὸ τοιοῦτον ἐνθάδε νομίζεσθαι, ὥστε ὅπερ ἐξ ἀρχῆς ἐλέχθη οὔτε καλὸν εἶναι αὐτό καθ' αὐτό οὔτε αἰσχρόν, ἀλλά καλῶς μὲν πραττόμενον καλόν, αἰσχρῶς δὲ αἰσχρόν. διὸ ὁ νόμος τοὺς τοῦ πανδήμου καὶ ὑλικοῦ Ἔρωτος κολάζει, τοὺς δέ τοῦ ἠθικοῦ ὑποστηρίζει. Ἀλλὰ κατὰ Παυσανίαν δεῖ δὴ τῷ νόμῳ τούτῳ συμβαλεῖν εἰς ταὐτὸν, τόν τε περὶ τήν παιδεραστίαν καὶ τὸν περί τὴν φιλοσοφίαν τε καὶ τὴν ἄλλην ἀρετήν, εἰ μέλλει ξυμβῆναι καλὸν γενέσθαι τὸ ἐραστῇ παιδικὰ χαρίσασθαι“ 184 C. *Εἰς τήν περίπτωσιν ταύτην πᾶσα ἀπάτη πρὸς τὰ παιδικά ἔξαίρεσις ἔσται καὶ καλὴ ἀπάτη ἐστίν, ἡ γάρ πρόθεσις ἦν καλή „ὡς ἀμείνων ἐσόμενος ἐξαπατηθείη „καὶ „οὕτω πάντως γε καλόν ἀρετῆς ἕνεκα χαρίζεσθαι“* 185 B [1]). *Οὗτος ὁ τῆς οὐρανίας θεοῦ Ἔρως καὶ οὐράνιος καὶ πολλοῦ ἄξιος καὶ πόλει καὶ ἰδιώταις, πολλὴν ἐπιμέλειαν ἀναγκάζων ποιεῖσθαι πρὸς ἀρετὴν τόν τε ἐρῶντα αὐτὸν αὐτοῦ καὶ τὸν ἐρώμενον· οἱ δ' ἕτεροι πάντες τῆς ἑτέρας, τῆς πανδήμου“* 185 C. *Καὶ ταῦτα μὲν ὡς ἔγγιστα καὶ Παυσανίας λέγει μικρὸν ὑπέρ τὸν Φαῖδρον ὑψούμενος καὶ τοῦτο ἐν τῇ*

1) *τοὐτέστιν ἰησουϊτικῶς λεγόμενον „ὁ σκοπός ἁγιάζει τὰ μέσα.“*

διαιρέσει τοῦ Ἔρωτος εἰς οὐράνιον καὶ πάνδημον, ἀλλὰ τὴν ἐνέργειαν καὶ δύναμιν ἑκατέρου μυθολογικῶς καὶ πάλιν καὶ σοφιστικῶς ἐξηγούμενος καὶ μηδαμῶς τῆς διαλεκτικῆς ὁδοῦ ἁπτόμενος, οὐδέ ὁρίζων, ἀλλὰ ὡς γνωστὸν προϋποτιθείς τὸν Ἔρωτα. Λογικῶς καλῶς συνηρμοσμένος ὁ λόγος καὶ τὸ ὑλικόν σαφές καὶ εὐσύνοπτον πιστῶς ἐξεικονίζον τὴν κοινήν γνώμην καὶ ἠθικήν κατάστασιν τῶν συγχρόνων. Κατὰ Fortlage *νομικός ἐστιν ὁ λόγος οὗτος τοῦ Παυσανίου. Κλίμακά τινα προαγωγικήν βλέπομεν καὶ μάλιστα ἐν τῇ προσλήψει τινῶν δοξασιῶν τῶν προλαλησάντων καὶ ἀπορρίψει ἑτέρων. Ὅτι ὁ ἀληθὴς καὶ φιλοσοφικός ἔρως οὐράνιός ἐστιν, ὅτι τοῦτο σημαίνει ὕψος καὶ ὅτι ἀείποτε οἱ ἄνθρωποι τὰ ὑψηλά, δυσερμήνευτα, τέλεια καὶ καλά οὐρανόθεν προσδοκῶσι καὶ ἀπεκδέχονται ὁμολογοῦντες τὸ ταπεινὸν καὶ εὐτελὲς τῶν ἐπί γῆς δῆλον οἰκοθεν νομίζομεν· ὅτι ἐπίσης ἀπὸ τῶν σοφιστῶν ἄρχεται καὶ μέχρι Σωκράτους διήκει ἡ ἔννοια τοῦ σχετικοῦ ἐν τῇ φιλοσοφίᾳ καὶ τοῦτο γνωστὸν, ὅτι φαῦλοι οἱ τοῦ πανδήμου καὶ χρηστοὶ οἱ τοῦ οὐρανίου ἔρωτος ὀπαδοί οὐδέν ἕτερον σημαίνει εἰ μή τὴν ἀπόκρουσιν τῆς κατὰ Σωκράτους κατηγορίας τοῦ ὄχλου τοῦ μή γινώσκοντος αὐτόν καὶ μή καλῶς κρίνοντος δῆλον ὁμοίως· τὸ δὲ περὶ διαφόρων νόμων καὶ βαρβαρότητος καὶ τυραννίδος φιλοσοφοῦν μέρος οὐδὲν ἕτερον δηλοῖ ἢ ὅτι Πλάτων ταύτῃ ἠθέλησε διδάξαι ἡμᾶς ὅτι ἡ σχέσις καὶ οἱ τρόποι μαθητοῦ καὶ διδασκάλου καὶ ἡ βελτίωσις τῶν τρόπων καὶ ἠθῶν τῆς κοινωνίας διὰ τῆς διαδόσεως τοιουτοτρόπως εὐγενῶν ἠθικῶν ἀρετῶν καὶ ὑψηλῶν φρονημάτων οὐδενὶ δύναται ὑπαχθῆναι νόμῳ καὶ ὅτι πάντα περιορισμὸν καὶ συστολήν τοιαύτης ἐπικοινωνίας ἰδεῶν βάρβαρον καὶ τυραννικόν νομιστέον. Ἐλευθέρα οὖν ἔστω ἡ διδασκαλία καὶ νόμον ἕκαστος ιιθέσθω αὐτὸς ἑαυτῷ ἑκών, ὡς οἱ ἀγαθοὶ τίθενται. Διὰ τῶν ἐφεξῆς δὲ λέξεων „Παυσανίου δὲ παυσαμένου, διδάσκουσι γάρ με ἴσα λέγειν οὑτωσί οἱ σοφοί“* 185 C *καὶ τυφλῷ δῆλον ὅτι Παυσανίας χώραν σοφιστικοῦ στοιχείου τῆς συγχρόνου κοινωνίας ἐν τῷ συμποσίῳ ὑπέχει καὶ ὅτι αἱ ἰδέαι καὶ σκέψεις αὐτοῦ εἰσιν ἡ ἠχώ τῶν ἰδεῶν τῆς συνεχνίας τῆς ἐπιπολαίου σοφιστικῆς, Ἐνταῦθα παρατίθεμεν καὶ τάδε·* Die Rede steht ganz auf dem Standpunkte der Reflexion des gewöhnlichen hellenischen Bewusstseins, wel-

ches mit einer ähnlichen Casuistik, wie die des Pausanias, seine Laster beschönigt. Susemihl: Bd. I, p. 374.

Ἔρως ἐν ἀνθρώποις [1]).

„Ὅτε τοὺς ἀνθρώπους ὁ Ζεὺς ἐγέννησεν, τὰ μὲν ἄλλα πάντα εἶχον, ὡς νῦν κεκόσμηνται, Ἔρως δέ οὔπω ταῖς ψυχαῖς τῶν ἀνθρώπων ἐγκατῳκίζετο, ἀλλ' ἔχων ἔτι τὸ πτερὸν ὁ θεὸς οὗτος μετάρσιον, οὐρανῷ τε ἐνωμίλει καὶ εἰς θεοὺς μόνους ἐτόξευεν. Λείσας δέ μή αὐτῷ ἀφανισθῇ τῶν ποιημάτων τὸ κάλλιστον, Ἔρωτα πέμπει τοῦ τῶν ἀνθρώπων γένους ἐσόμενον φύλακα. Ὁ δέ ταύτην ἐκ Διός τήν ἐπιτροπήν λαβών, τό μέν ἅπάσαις ψυχαῖς ἐγκατοικίζεσθαι, ἢ πᾶν ἐπίσης ἦθος νεοτελές τε καὶ βέβηλον ἔχειν τέμενος, οὐκ ἐδοκίμαζεν· ἀλλά τὰς μὲν πολλάς καὶ ἀγελαίους ψυχάς τοῖς πανδήμοις Ἔρωσι, τοῖς τῶν νυμφῶν παισί, ποιμαίνειν ἀπένεμεν, αὐτός δὲ ταῖς θείαις καὶ οὐρανίαις ψυχαῖς ἐνῳκίσατο, καὶ ταύτας ἀναβαχχεύων ἐπὶ μανίαν ἐρωτικήν, μυρία ἀγαθά τό τῶν ἀνθρώπων γένος εἰργάσατο. Ὅταν μὲν οὖν ἴδῃς τινὰ βραδύν τε τὴν φύσιν καὶ πρός φιλίαν δυσκίνητον, νόησον, ὅτι τῶν Ἐρωτος ἐκείνου ξενίων οἰδαμῶς οὗτος ἠξίωται· ὅταν δέ ὀξύν καὶ θερμόν τήν γνώμην, καὶ φλογός δίκην ἐπ' ἐρωτικῆς φιλίαν ᾴττοντα, νόησον τοῦτο εἶναι ἐκείνου ξένιον τοῦ Ἔρωτος“.

ΕΠΕΙΣΟΔΙΟΝ Α!

μεταξύ Ἀριστοφάνους καὶ Ἐρυξιμάχου.

Τὸ διὰ τῆς εἴρωνος φράσεως Παυσανίου δὲ παυσαμένου ἀρχόμενον ἐπεισόδιον λυγγός ὑπό πλησμονῆς τῷ Ἀριστοφάνει ἐπιπεπτωκυίας καὶ ἑπομένως τὴν θεραπείαν τούτου καὶ τὸ ὑπὲρ αὐτοῦ λέγειν τοῦ Ἐρυξιμάχου, ἕως ἂν παύσηται τῆς λυγγός ἐγένετο ἐσκεμμένως ὑπό Πλάτωνος, πρῶτον μὲν κατὰ Ἀριστείδην „οἶμαι, λύζειν αὐτὸν ἔδει, ἵνα εἰς ἀπληστίαν σκωφθῇ“ καὶ 47 II p. 330 τοῦ Ἀριστ. „οὐκ Ἀριστοφάνει μὲν λύγγα προσάπτει οὐδὲν πρὸς λόγον, μᾶλλον δέ καὶ παντελῶς πρᾶγμα ἄχαρι καὶ ἀπᾷδον τῶν περί Ἔρωτος λόγων; καὶ Ὀλυμπιοδ. Vita Platon 3. „Ἐκωμῴδησε δ' αὐτὸν ἐν τῷ Συμποσίῳ τῷ διαλόγῳ ὡς κωμῳδίαν ὠφεληθείς· καὶ γάρ ποιήσας αὐτὸν ὑμνοῦντα τὸν ἔρωτα

1) C. 396. F. 406. ex Himerii Soph. X, c. 6.

εἰσάγει αὐτόν μεταξύ λυγγί περιπεσόντα καὶ μή δυνάμενον πλῆρωσαι τὸν ὕμνον“. Εἶτα δὲ καὶ ἵνα μή καταπονήσῃ τοὺς ἀκροατάς ἀποπηδᾷ αὐτοῦ Πλάτων καί οὕτω καθ' ἡμᾶς φέρει αὐτὸν πλησιέστερον τῷ Ἀγάθωνι καὶ Σωκράτει, οἷς ἐν τῇ κωμῳδίᾳ ἔσκωψεν. Ὅτι δέ τὸ προκείμενον ἐπεισόδιον, ὡς καὶ πάντα τὰ λοιπά, πρὸς ἀποφυγήν μονοτονίας καὶ πρὸς ἀναψυχήν κεῖνται καὶ τοῦτο δῆλον καὶ οὐ δεῖται ἀποδείξεως. Ἑτέρα ἐκφορά θέλει ἰσχυρίσασθαι ὅτι Πλάτων σκῶψαι βουλόμενος τοὺς τὰ πάντα εἰδότας καὶ περί πάντων ἐξ ὑπογυίου λέγοντας ἰατρούς ἢ τάξιν τινά τοιούτων ἀνθρώπων ποιεῖ τὸν Ἐρυξίμαχον ἐκ τοῦ παραχρῆμα πρό τοῦ μέρους αὐτοῦ λέγοντα. Ὁ Ast *καὶ* Hommel *λέγουσιν ὅτι ὁ Ἀριστοφάνης ἠθέλησε δεῖξαι ὅτι ἔσην παρέσχεν αὐτῷ καὶ ναυσιᾷ ἐκ τοῦ λόγου τοῦ Παυσανίου.* Ὁ. Hermann (Rec. von Hommel in der Zeitschr. für Alterthumswissenschaft 1836 April p. 326) glaubt, der ganze Passus sei von Platon in keiner anderen Absicht eingeflochten worden, als um den *Ἐρυξίμαχος* noch ehe er seine Rede beginnt, in seiner allzeitfertigen medizinischen Wichtigthuerei zu schildern. Wenn ich mich nicht irre, so ist die ganze Bemerkung gegen Ton und Haltung der aristophanischen Rede gerichtet. Ehe sich der Komiker derselben entledigt, stösst sie ihm noch einigemale auf, wie wenn sie ihm im Magen umginge Ihre zum Theil indilikaten Ingredienzien konnten nicht besser charakterisiert werden.“

ΛΟΓΟΣ ΕΡΥΞΙΜΑΧΟΥ.

„Ἔρωτι μέν νυν ὅστις ἀντανίσταται
πύκτης ὅπως ἐς χεῖρας, οὐ καλῶς φρονεῖ.“
Σοφ. Τραχ.. 440, 441

Λέγει ὅτι συνεχῶς τῷ Παυσανίᾳ ἐρεῖ καὶ περατώσει τὸν ὑπ' αὐτοῦ καλῶς μὲν ἀρξάμενον, οὐχί ἱκανῶς δὲ ἀποτελεσθέντα λόγον. Βλέπομεν οὖν ὅτι ἐπὶ τοῦ αὐτοῦ ἐδάφους κυλινδεῖται διπλοῦν τὸν ἔρωτα παραδεχόμενος καὶ πρῶτον ἐπὶ τῆς ἰατρικῆς ἐφαρμόζων, ἣν σκώπτει καθ' ἡμᾶς ὁ Πλάτων λέγων „ἡ ἰατρική ἐστιν ἐπιστήμη πρὸς πλησμονήν καὶ κένωσιν“. Ἔπειτα ἐφαρμόζει τὸν διπλοῦν ἔρωτα ἐπὶ τῆς μουσικῆς καὶ ἁρμονίαν, ὁμολογίαν, συμφωνίαν ἀποκαλῶν

αὐτὸν φυλακτέον λέγει ἑκάτερον· ἔνεστον γάρ, καὶ τὰ καλὰ ἑκατέρου καρπωτέον.

Μετὰ ταῦτα εἰς τὴν γεωργίαν ἁρμονίαν καὶ κρᾶσιν καλῶν αὐτὸν καὶ εἰς τὴν ἀστρονόμιαν καὶ μαντικήν, τὴν περὶ θεούς τε καὶ ἀνθρώπους πρὸς ἀλλήλους κοινωνίαν, ἧς καλῶς τελουμένης ἀποτέλεσμά ἐστιν θέμις, εὐσέβεια, σωφροσύνη, δικαιοσύνη, εὐδαιμονία, φιλία ἀλλήλοις τε καὶ τοῖς κρείττοσιν ἡμῶν θεοῖς. 188 E.

Ὅτι ἐφαρμογήν τοῦ διπλοῦ ἔρωτος τοὺ Παυσανίου ἐποιήσατο ἐπιστημονικώτερον καὶ οὐδὲν πλέον ὁμολογεῖ ὁ αὐτός λέγων „ἴσως μὲν οὖν καὶ ἐγώ τὸν Ἔρωτα ἐπαινῶν πολλὰ παραλείπω, οὐ μέντοι ἑκών γε". Εἰς τὸν Ἐρυξίμαχον εὑρίσκουσι σοφιστικήν Verschrobenheit καὶ Pedanterie δικαίως· τὴν γάρ ἰατρικὴν ἐπικαλεῖται, ἵνα ἀποδείξῃ, ὅτι ἧ μέθη κακόν, συνταγάς πολλάς δίδωσι τῷ Ἀριστοφάνει, πιστεύει διὰ τῆς ἰατρικῆς ὅτι τὴν ὀρθὴν θεωρίαν τῆς φύσεως τοῦ Ἔρωτος ἀνακαλύπτει· διό ὁ Hermann (Rec. Hommel p. 326 καὶ Geschichte und System I, 215) erkennt in diesen Zügen die pedantische Selbstgefälligkeit und Mundfertigkeit der Sophistik. Ὁ Stallbaum prolog. p. 28 καὶ Rückert p. 270 ἐν τῷ Ἐρυξιμάχῳ τὸν σοφιστὴν Ἱππίαν ἀναγνωρίζουσι· πρβλ. Πρωταγ. 315 C: ἐφαίνετο (Ἐρυξίμαχος καὶ οἱ λοιποὶ) περὶ φύσεώς τε καὶ τῶν μετεώρων ἀστρονομικά ἅττα διερωτᾶν τὸν Ἱππίαν. 318 E: λογισμούς τε καὶ ἀστρονομίαν καὶ μουσικὴν διδάσκοντες — καὶ ὅμα εἰς τὸν Ἱππίαν ἀπέβλεψαν ".

Ὁ δέ Schwegler λέγει ὅτι γενικεύει καὶ abstrahirt er τὸν διπλοῦν ἔρωτα, indem er den Begriff des Gegensatzes überhaupt darin findet; das persönliche wird ins unpersönliche, das moralische ins physische übersetzt. Der Begriff des Ἔρως zeigt sich jetzt als Wechselbegriff von ὁμόνοια, ὁμολογία, συμφωνία, ἁρμονία καὶ ὁ διπλοῦς Ἔρως ὡς σύμβολον τῆς Ἕλξεως καὶ Ὤσεως τῶν φυσικῶν νόμων. Ἀλλ' εἰς τὴν γενίκεισιν ταύτην — als Naturprinzip, als kosmische Kategorie — wird er zugleich ganz unbestimmt und begrifflos· διότι ἐφαρμόζεται εἰς ἐπισήμας· ὅθεν καὶ ὁ Ἐρυξίμαχος οὐδέν λέγει ὑγιές.

Σημ. πρβλ. καὶ Susemihl Τομ. I σελ. 377–382.

ΕΠΕΙΣΟΔΙΟΝ Β!

μεταξὺ Ἀριστοφάνους καὶ Ἐρυξιμάχου.

„Οὐδεὶς δ' ἀνθρώπων αὐτός ἅπαντα σοφός."
Θέογνις.

Τοῦτο ἄρχεται διὰ τῶν ἑξῆς λέξεων τοῦ Ἐρυξιμάχου „εἴ τι ἐξέλιπον, σὸν ἔργον, ὦ Ἀριστόφανες, ἀναπληρῶσαι· ἢ εἴ πως ἄλλως ἐν νῷ ἔχεις ἐγκωμιάζειν τὸν θεόν, ἐγκωμίαζε, ἐπειδή καὶ τῆς λυγγός πέπαυσαι" 188 E. Ὁ Ἀριστοφάνης σκώπτων κατὰ τὸ σύνηθες αὐτῷ λέγει ὅτι δραστικώτατον ἦν τό ἰατρικὸν τοῦ Ἐρυξιμάχου, ὅστις εἰς ἀπάντησιν τῆς γελωτοποιίας ἀναγκάζεται φησι φύλαξ γίγνεσθαι τοῦ λόγου τοῦ Ἀριστοφάνους, ἐάν τι γελοῖον εἴπῃ. ὁ δὲ Ἀριστοφάνης ἄρρητα ποιῶν τὰ εἰρημένα μή με φύλαττε, λέγει, ὡς ἐγώ φοβοῦμαι περὶ τῶν μελλόντων ρηθήσεσθαι, οὗ τι μή γελοῖα εἴπω, τοῦτο μὲν γὰρ ἂν κέρδος εἴη καὶ τῆς ἡμετέρας μούσης ἐπιχώριον, ἀλλὰ μή καταγέλαστα. ὁ Ἐρυξίμαμος, ὦ Ἀριστόφανες, βαλών γε οἴει ἐκφεύξεσθαι· ἀλλὰ πρόσεχε τὸν νοῦν καὶ οὕτως λέγε ὡς δώσων λόγον· ἴσως μέντοι, ἂν δόξῃ μοι, ἀφήσω σε" 189 B.

Τὸ ἐπεισόδιον τοῦτο μεγίστης σημασίας τυγχάνει καθ' ἡμᾶς ἐν τῇ οἰκονομίᾳ τοῦ παντὸς ἔργου· πρῶτον μὲν γάρ παρίσταται ὡς γελωτοποιός τις ὁ Ἀριστοφάνης καὶ οὐδὲν πλέον, κέρδος ἡγούμενος καὶ ἐπιχώριον τῆς αὐτοῦ μούσης, ἐὰν τι γελοῖον εἴπῃ, δεύτερον ὅτι βαλών οὐκ ἐκφεύξεται, ὅτι δώσει λόγον, ὅτι ἴσως, ἂν δόξῃ, ἀφήσουσιν αὐτόν. Διὰ τούτων πάντων διδάσκει ἡμᾶς ὁ Πλάτων ὅτι οὐδεμιᾶς προσοχῆς καὶ σημασίας ἠθικῆς τυγχάνουσιν οἱ λόγοι τοῦ Ἀριστοφάνους γελοῖα περὶ Σωκράτους ἐν Νεφέλαις φλυαροῦντος, ἅτε τούτου ἐπιχωρίου τῆς αὐτοῦ μούσης τυγχάνοντος καὶ κέρδους, ἐάν τι γελοῖον δυνηθῇ εἰπεῖν καὶ οὐχί, ἐάν τι ἀληθές καὶ βέβαιον τὸν ἐσωτερικὸν ἠθικόν βίον τοῦ ἀνδρός χαρακτηρίζον, ὅτι δὲ βαλών οὐκ ἐκφεύξεται σημαίνει γελωτοποιηθήσεται καὶ ἐξευτελισθήσεται ἡ λάλος, κούφη καὶ γελοία μοῦσα αὐτοῦ ἐν τοῖς ἑπομένοις καὶ ὅτι ὡς δώσων λόγον δεῖ πάσῃ δυνάμει αὐτόν λέγειν, ἵνα τό ἄκρον ἄωτον τῆς ἱκανότητος αὐτοῦ ὡς εἰς οὐδὲν ἕτερον συντελοῦν κατάδηλον γένηται, εἰ μή εἰς νεφελοκοκκυγίας καὶ στιγμιαίας ἐξάψεις τῆς φαντασίας μηδεμίαν θετικὴν ἀλήθειαν ἐμπερι-

λαμβανούσης, ὅτι ἴσως, ἂν δόξῃ, ἀφήσουσιν αὐτὸν σημαίνει βεβαίως ἀφήσουσιν αὐτὸν ἀποδειχθέντα λάλον, γελωτοποιόν, κοῦφον ποιητὴν τῷ ὄχλῳ χαριζόμενον ἤτοι τοῖς ἄφροσιν ὡς ἄφρονα καὶ μηδαμῶς δυνάμενον ἀποδοχῆς καὶ ἐπιδοκιμασίας τυχεῖν παρὰ τοῖς εὖ φρονοῦσιν ἐν τοῖς περὶ Σωκράτους συκοφαντηθεῖσι.

„Man ging, sagt Hr. Prof. Clodius, (Versuche aus der Litteratur und Moral p 436.) aus dem Tempel auf das Theater, und lachte am Abend über eine Gottheit, der man am Morgen, unter den Hymnen des Volkes, Weihrauch zerstreut hatte.

ΛΟΓΟΣ ΑΡΙΣΤΟΦΑΝΟΥΣ.

„Συμβαλοῦμαί τι μέλος ὑμῖν εἰς Ἔρωτα."
Φιλόξενος.

Λέγει ὅτι ἄλλῃ γέ πῃ ἐν νῷ ἔχει λέγειν, ἢ ἡ Ἐρυξίμαχός τε καὶ Παυσανίας εἰπέτην ἀπαντῶν πρὸς τὰς λέξεις τοῦ Ἐρυξιμάχου ἢ εἴ πως ἄλλως ἐν νῷ ἔχεις ἐγκωμιάζειν τὸν θεόν „καὶ τοῦτο δηλοῖ ὅτι βεβαίως ὁ Ἀριστοφάνης ἄλλως ἐν νῷ ἔχει λέγειν ἅτε Ἀριστοφάνης ὢν καὶ δὴ ὅτι μὴ αἰσθανόμενοι, ἀρχόμενος λέγει, οἱ ἄνθρωποι τὴν δύναμιν, τὴν φιλανθρωπίαν, τὴν ἐπικουρίαν, τὴν ἰατρείαν, τὴν μεγίστην διὰ τούτου εὐδαιμονίαν οὐ τιμῶσιν αὐτόν, ὡς δεῖ· ὅτι πειράσεται εἰσηγήσασθαι τὴν δύναμιν τοῦ ἔρωτος καὶ ἀπαιτεῖ διδασκάλους γενέσθαι αὐτοὺς τῶν ἄλλων. Διηγεῖται οὖν περὶ τῶν τριῶν τὸ πάλαι γενῶν τῶν ἀνθρώπων, περὶ τῆς δεινῆς ἰσχύος καὶ ῥώμης, περὶ τῶν μεγάλων φρονημάτων αὐτῶν, ὅτι ἐπεχείρησαν τοῖς θεοῖς . . . . . τὸ εἰς τὸν οὐρανὸν ἀνάβασιν ἐπιχειρεῖν ποιεῖν, ὡς ἐπιθησομένων τοῖς θεοῖς· διὸ τέμνουσι δίχα ἕκαστον οἱ θεοί, ἵνα μὴ ἀφανίσωσι τὸ γένος ἅπαν — αἱ τιμαὶ γὰρ ἂν αὐτοῖς καὶ ἱερὰ τὰ παρὰ τῶν ἀνθρώπων ἠφανίζετο — καὶ ἅμα μὲν ἀσθενέστεροι ἔσονται, ἅμα δὲ χρησιμώτεροι τοῖς θεοῖς διὰ τὸ πλείους τὸν ἀριθμὸν γεγονέναι. Ἐπειδὴ οὖν ἡ φύσις [illegible]

ὁπότε τι ἀποθάνοι τῶν ἡμίσεων, τὸ δὲ λειφθείη, τὸ λειφθὲν ἄλλο ἐζήτει καὶ συνεπλέκετο, εἴτε γυναικὸς τῆς ὅλης ἐντύχοι ἡμίσει, ὃ δὴ νῦν γυναῖκα καλοῦμεν, εἴτ' ἀνδρός· καὶ οὕτως ἀπώλλυντο· ἐλεήσας δὲ ὁ Ζεὺς μετατίθησιν εἰς τὸ πρόσθεν τὰ αἰδοῖα, μεταφέρει τὴν γέννησιν ἐκ τῆς γῆς εἰς ἀλλήλους τῶνδε ἕνεκα, ἵνα εἰ μὲν ἀνὴρ γυναικὶ ἐντύχοι, γεννῷεν καὶ γίγνοιτο γένος, εἰ δ' ἄῤῥην ἄῤῥενι, πλησμονὴ γίγνοιτο τῆς συνουσίας καὶ διαπαύοιντο καὶ ἐπὶ τὰ ἔργα τρέποιντο καὶ τοῦ ἄλλου βίου ἐπιμελοῖντο. Ἔστι δὴ οὖν ἐκ τόσου ὁ Ἔρως ἔμφυτος ἀλλήλων τοῖς ἀνθρώποις καὶ τῆς ἀρχαίας φύσεως συναγωγεὺς καὶ ἐπιχειρῶν ποιῆσαι ἓν ἐκ δυοῖν καὶ ἰάσασθαι τὴν φύσιν τὴν ἀνθρωπίνην. Ἕκαστος οὖν ἡμῶν ἐστιν ἀνθρώπου ξύμβολον, ἅτε τετμημένος, ζητεῖ δὲ ἀεὶ τὸ αὑτοῦ ἕκαστος ξύμβολον[1]) διὸ φιληγύναι, μοιχοί, φίλανδροι, μοιχεύτριαι, ἑταιρίστριαι, φιλεράσται, παιδεράσται ἐξάγονται κατὰ τὸν τρόπον τοῦτον καὶ ὅτι ἕκαστος ἀεὶ τὸ ξυγγενὲς ἀσπαζόμενος καὶ ὁ παιδεραστὴς καὶ ἄλλος πᾶς τῷ αὐτοῦ ἡμίσει θαυμαστὰ τότε ἐκπλήττονται φιλίᾳ τε καὶ οἰκειότητι καὶ ἔρωτι, οὐκ ἐθέλοντες χωρίζεσθαι ἀλλήλων οὐδὲ σμικρὸν χρόνον, οὐδ' ἂν ἔχοιεν εἰπεῖν ὅ τι βούλονται σφίσι παρ' ἀλλήλων γίγνεσθαι· οὐδὲ γὰρ ἂν δόξειεν τοῦτ' εἶναι ἡ τῶν ἀφροδισίων συνουσία, ὡς ἄρα τούτου ἕνεκα ἕτερος ἑτέρῳ χαίρει ξυνὼν οὕτως ἐπὶ μεγάλης σπουδῆς· ἀλλ' ἄλλο τι βουλομένη ἑκατέρου ἡ ψυχὴ δήλη ἐστίν, ὃ οὐ δύναται εἰπεῖν, ἀλλὰ μαντεύεται ὃ βούλεται καὶ αἰνίττεται. καὶ εἰ [illegible] ἔροιτο· τί ἐσθ' ὃ βούλεσθε, ὦ ἄνθρωποι, ὑμῖν παρ' ἀλλήλων γενέσθαι; οὐδ' ἂν εἷς ἐξαρνηθείη οὐδ' ἄλλο τι ἂν φανείη βουλόμενος, ἀλλὰ συνελθὼν καὶ συντακεὶς τῷ ἐρωμένῳ ἐκ δυοῖν εἷς γενέσθαι· τοῦτο γάρ ἐστι τὸ αἴτιον, ὅτι ἡ ἀρχαία φύσις ἡμῶν ἦν αὕτη καὶ ἦμεν ὅλοι· τοῦ ὅλου οὖν τῇ ἐπιθυμίᾳ καὶ διώξει ἔρως ὄνομα. [illegible]

1) [illegible]

καὶ ἐντευξόμεθα τοῖς παιδικοῖς τοῖς ἡμετέροις αὐτῶν — ἐνταῦθα σκώπτει τὸν Ἀγάθωνα καὶ Παυσανίαν — ὅτι οὕτως ἂν ἡμῖν τὸ γένος εὐδαιμον γένοιτο, εἰ ἐκτελέσαιμεν τὸν ἔρωτα καὶ τῶν παιδικῶν τῶν αὑτοῦ ἕκαστος τύχοι εἰς τὴν ἀρχαίαν ἀπελθών φύσιν· οὐ δή τὸν αἴτιον θεὸν ὑμνοῦντες δικαίως ἂν ὑμνοῖμεν ἔρωτα, ὃς ἐν τῷ παρόντι ἡμᾶς πλεῖστα ὀνίνησιν, εἰς τὸ ἔπειτα ἐλπίδας μεγίστας παρέχεται μακαρίους καὶ εὐδαίμονας ἡμᾶς ποιῆσαι.

Καὶ ὅτι μὲν ὁ Ἀριστοφάνης ἀλλοίως εἰπών, τὰ αὐτά ὅμως κατ' οὐσίαν τοῖς πρόσθεν εἰρηκόσι διὰ νέας μυθολογίας οἰκείας καὶ τισι λαοῖς τῆς Ἀσίας ἀνέφερε μηδαμῶς τὰ ἐσκαμμένα ὑπερπηδήσας καὶ οὐδὲ κατ' ἐλάχιστον τῆς λογικῆς καὶ διαλεκτικῆς ὁδοῦ ἀπτόμενος δῆλον, ὅτι ὁ Πλάτων παρουσιάζει αὐτόν μηδὲν ἱερὸν καὶ ὅσιον κεκτημένον καὶ θεοὺς τε καὶ ἀνθρώπους σκώπτοντα καὶ τοῦτο δῆλον ἡγούμεθα. Διὰ τοῦ εἰς γῆν τίκτειν, ὥσπερ οἱ τέττιγες φαίνεται ἡμῖν ὅτι τὴν αὐτοχθονίαν τῶν Ἀθηναίων σκώπτει, διὰ δέ τοῦ „καὶ γάρ τελεωθέντες μόνοι ἀποβαίνουσιν εἰς τὰ πολιτικὰ ἄνδρες οἱ τοιοῦτοι" τὸν Ἀλκιβιάδην καί Σωκράτη σκώπτει. Ἐνταῦθα ἀναφέρεται κατ' ἔννοιαν καὶ τόδε· „Σχολὴν δέ σκοπῶν τί εἴη, ποιοῦντας μέν τι τοὺς πλείστους εὑρίσκειν ἔφη· καὶ γάρ τοὺς πεττεύοντας καὶ τοὺς γελωτοποιοῦντας ποιεῖν τι, πάντας δέ τούτους ἔφη σχολάζειν· ἐξεῖναι γάρ αὐτοῖς ἰέναι πράξοντας τὰ βελτίω τούτων, ἀπό μέντοι τῶν βελτιόνων ἐπὶ τὰ χείρω ἰέναι οὐδένα σχολάζειν· εἰ δέ τις ἴοι, τοῦτον ἀσχολίας αὐτῷ οὐσης κακῶς ἔφη τοῦτο πράττειν" [1]). Καὶ τάδε·

„Ἐπείθετο τῷ Σωκράτει καὶ ἐπεβούλευον οἱ ἀμφὶ τὸν Ἄνυτον ὧν χάριν καὶ δι' ἃς αἰτίας λέλεκται πάλαι· ὑφορώμενοι δὲ τοὺς Ἀθηναίους καὶ δεδιότες ὅπως ποτέ ἔξουσι πρὸς τὴν κατηγορίαν τοῦ ἀνδρός (πολὺ γάρ ἦν τὸ Σωκράτους ὄνομα διά τε τἆλλα καὶ ὅτι τοὺς σοφιστὰς ἠλεγχεν οὐδὲν ὑγιὲς ὄντας οὐδέ τι σπουδαῖον ἢ εἰδότας ἢ λέγοντας), ἐκ τούτων οὖν ἐβουλήθησαν πεῖραν καθεῖναι ὑπὲρ τῆς κατ' αὐτοῦ διαβολῆς. Τὸ μὲν γάρ ἄντικρυς ἀπενέγκασθαι γραφήν κατ' αὐτοῦ παραχρῆμα οὐκ ἐδοκίμαζον δι' ἃ προεῖπον καὶ δι' ἐκεῖνα δὲ, μή ποτε ἄρα ἀγριάναντες οἱ φίλοι οἱ τοῦ Σωκράτους ἐξάψωσι κατ' αὐτῶν τοὺς δικασταὶς, εἶτά τι

1) Ξενοφ. Ἀπομν. III, 9.

πάθωσι κακὸν ἀνήκεστον, ἅτε συκοφαντοῦντες ἄνδρα οὐ μόνον οὐδενός αἴτιον κακοῦ τῇ πόλει, ἐκ δὲ τῶν ἐναντίων καὶ κόσμον τοῖς Ἀθηναίοις ὄντα. Τί οὖν ἐπινοοῦσιν; Ἀριστοφάνην τὸν τῆς κωμῳδίας ποιητήν, βωμολόχον ἄνδρα καὶ γελοῖον ὄντα καὶ εἶναι σπεύδοντα, ἀναπείθουσι κωμῳδῆσαι τὸν Σωκράτη, ταῦτα δήπου τὰ περιφερόμενα, ὡς ἦν ἀδολέσχης, λέγων τε αὖ τὸν ἥττω λόγον ἀπέφαινε κρείττονα, καὶ ἐσῆγε ξένους δαίμονας, καὶ οὐκ ἠδεῖτο θεοὺς οὐδ' ἐτίμα, τὰ δὲ αὐτὰ ταῦτα καὶ τοὺς προσιόντας αὐτῷ ἐδίδασκέ τε καὶ εἰδέναι ἀνέπειθεν. Ὁ δέ Ἀριστοφάνης λαβόμενος ὑποθέσεως εὖ μάλα ἀνδρικῆς, ὑποσπείρας γέλωτα καὶ τό ἐκ τῶν μέτρων αἱμύλον καὶ τόν ἄριστον τῶν Ἑλλήνων λαβών ὑπόθεσιν (οὐ γάρ οἱ κατά Κλέωνος ἦν τό δρᾶμα, οὐδὲ ἐκωμῴδει Λακεδαιμονίους ἢ Θηβαίους ἢ Περικλέα αὐτόν, ἀλλ' ἄνδρα τοῖς τε ἄλλοις θεοῖς φίλον καὶ δὴ καὶ μάλιστα τῷ Ἀπόλλωνι), ἅτε οὖν ἀηθες πρᾶγμα καὶ ὅραμα παράδοξον ἐν σκηνῇ καὶ κωμῳδία Σωκράτης, πρῶτον μέν ἐξέπληξεν ἡ κωμῳδία τῷ ἀδοκήτῳ τοὺς Ἀθηναίους, εἶτα καὶ φύσει φθονερούς ὄντας καὶ τοῖς ἀρίστοις βασκαίνειν προῃρημένους οὐ μόνον τοῖς ἐν τῇ πολιτείᾳ καὶ ταῖς ἀρχαῖς ἀλλ' ἔτι καὶ πλέον τοῖς εὐδοκιμοῦσιν ἢ ἐν λόγοις ἀγαθοῖς ἢ ἐν βίου σεμνότητι, ἄκουσμα ἔδοξεν ἥδιστον αἵδε αἱ Νεφέλαι, καὶ ἐκρότουν τὸν ποιητήν ὡς οὐ ποτε ἄλλοτε, καὶ ἐβόων νικᾶν, καὶ προσέτατον τοῖς κριταῖς ἄνωθεν Ἀριστοφάνην ἀλλά μή ἄλλον γράφειν, καὶ τὰ μὲν τοῦ δράματος τοιαῦτα" [1]).

Ὁλόγος τοῦ Ἀριστοφάνους ὑψηλότατος πάντων πλὴν τοῦ λόγου τοῦ Σωκράτους λέγει ὁ Hommel, ὅστις θεωρεῖ αὐτὸν μόνον ὡς Scherzrede, ὡς komische Würze des Tischgesprächs καὶ τὸν ποιητὴν ὡς Possenreisser. Τινές ἐνόμισαν ὅτι ὁ Πλάτων, ἵνα σατυρίσῃ αὐτὸν, ᾧ ἡ διατριβή περὶ Διόνυσον καὶ Ἀφροδίτην, ἄλλοι ὡς ὁ Stallbaum καὶ Schleiermacher ὡς Document seiner Aussöhnung mit Sokrates πρόκειται ὁ λόγος αὐτοῦ.

Ὁ Ast ὡς Verspottung πάντων τῶν προηγουμένων, ἀλλ' ὁ Schwegler λέγει ὅτι ἀδύνατον τοῦτο· διότι ἡ Grundidee τοῦ λόγου αὐτοῦ νέα ἐστί καὶ positiv wahr. Τῷ Ἐρυξιμάχῳ

1) Aelian. var. Hist. B, 13.

συμφωνεῖ ὁ Ἀριστοφάνης ἐκ γενικοῦ speculativen Gesichtspunkt *ὁρμώμενος, ἀλλὰ θυσιάζει χάριν αὐτοῦ τήν κατ' ἰδίαν* Bestimmtheit des Begriffs. *Διαφέρει τοῦ Φαίδρου καί Παυσανίου μή προβαίνων ἐκ τοῦ* utilistischen Standpunkt *τούτων, ἀλλ'* immanent teleologisch, *οὐχί ὡς μέσον, ἀλλ' ὡς* Bedürfniss *θεωρῶν τὸν Ἔρωτα,* als Selbstzweck. *Ἐάν εἴπωμεν ὅτι ὁ Παυσανίας ἠθικοπολιτικῶς, ὁ Ἐρυξίμαχος φυσικοφιλοσοφικῶς, ὁ Ἀριστοφάνης φυσιολογικῶς εἰρήκασι, τότε ἐμποδὼν ἔχομεν τὸν Ἀγάθωνα· τί γάρ ἐστι; μόνον κατὰ τό ἐξωτερικόν ὑπερβαίνει τὸν τοῦ Φαίδρου λόγον,* ὅστις inhaltlos, ideenarm, in die Luft gebaut ist. Ὁ Rückert p. 280 *λέγει ὅτι ὁ Ἀριστοφάνης τὸν σοφιστήν Πρόδικον παρίστησιν· ἡ γὰρ εἰς γελοῖον καὶ καταγέλαστον διαίρεσις ὅλως κατὰ Πρόδικόν ἐστι. Περὶ δὲ τοῦ Μύθου τοῦ Ἀριστοφάνους λέγομεν ὅτι ἀρχαῖος τυγχάνει οἷον· Κτέατος καὶ Εὔρυτος διφυεῖς ἦσαν,* ἦ Talmud *ἐπίσης διδάσκει περί διφυῶν ἀνθρώπων, Ἰανός ὁ θεὸς ὁμοίως διφυής ἦν. καὶ* Sturz *καὶ* Karsten v. 238—241 *καὶ* 251—255 *Ἐμπεδοκλέους τάδε λέγουσιν·*

„Πολλά μέν ἀμφιπρόσωπα καὶ ἀμφίστερν' ἐφύοντο·
βουγενῆ ἀνδρόπρωρα, τὰ δ' ἔμπαλιν ἐξανέτελλον
ἀνδροφυῆ βούκρανα· μεμεγμένα τῇ μέν ἀπ' ἀνδρῶν,
τῇ δέ γυναικοφυῆ, χλιεροῖς ἠσκημένα γυίοις.
Οὐλοφυεῖς μὲν πρῶτα τύπος χθονός ἐξανέτελλον
ἀμφοτέρων ὕδατός τε καὶ οὔδεος αἶσαν ἔχοντες
τούς μὲν πῦρ ἀνέπεμπ' ἐθέλον πρὸς ὅμοιον ἱκέσθαι
οὔτε τί πω μελέων ἐρατὸν δέμας ἐμφαίνοντας
οὔτ' ἐνοπήν, οὔτ' οὖν ἐπιχώριον ἀνδράσι γῆρυν".

„Die tiefere Bedeutung und philosophische Berechtigung des aristophanischen Mythus hat auch Rötscher (*Ἀριστοφ.* p. 19) anerkannt, nur hat er sich schief ausgedrückt, wenn er in ihm „den philosophischen Begriff der Liebe" eingehüllt findet. In ganz unangemessener Weise dagegen hat sich Rückert p. 274 über eine entsprechende Aeusserung von Schwarz (Erziehungslehre I, 150): Schon darum kann es keinen vollkommenen Menschen geben, weil jeder entweder als Mann oder als Weib existirt; dadurch ist die Menschheit getheilt, und Plato sprach darin gar nichts schwärmerisches aus, wenn er die beiden als zwei Hälften ansah" lustig ge-

macht. Uebrigens ist noch auf eine Incongruenz in der Rede des Aristophanes aufmerksam zu machen, nämlich darauf, dass er aus der Idee einer ursprünglichen Totalität der Geschlechter eben so gut auch die beiden anderen nicht auf Sexualdifferenz gegründeten erotischen Verhältnisse, deren er im Verlaufe seines Vortrags gedenkt, ableitet, und namentlich der Knabenliebe unbedingt die erste Stelle anweist, während seine physiologischen Prämissen vielmehr gegen die griechische Sitte sprechen."[1])

Καὶ τάδε περὶ τοῦ μύθου τούτου προσθετέα·

„Es leuchtet übrigens ein, dass der Mythus des Aristophanes sehr bestimmt, seinem Wesen nach, sowohl von den mythischen Berufungen in der Liebesrede des *Φαῖδρος,* als auch von der berühmten mythischen Darstellung im platonischen *Φαῖδρος* unterschieden ist. Das mythische in der Rede des *Φαῖδρος* beschränkt sich auf Einzelnheiten, die nicht, wie in unserem Mythus, zu einer Totalität für die Anschauung verarbeitet sind. Das mythische im platonischen *Φαῖδρος,* das allerdings ein in sich abgeschlossenes Ganze bildet, offenbart uns dagegen das Ringen eines Geistes, der noch nicht das adäquate Element das Gedankens finden kann, und mit einer fast dithyrambischen Lust und Begeisterung in der mythischen Form das ausspricht, was ihn in seinem Innern bewegt. Unser Mythus ist dagegen mit philosophischem Bewusstsein und künstlerischer Weisheit gearbeitet, während in der mythischen Darstellung des *Φαῖδρος,* offenbar des ersten platonischen Gesprächs, das Erkennen und die mythische Anschauung noch nicht auseinander getreten sind, wie hier."[2])

Περὶ δέ τῆς ἑρμηνείας καὶ ἐξηγήσεως τῆς διχοτομίας τάδε·

„Der Gott durfte sie nicht tödten, weil damit zugleich der Dienst der Götter verschwunden wäre, worin auf naive Weise der tiefe Gedanken angedeutet ist, dass mit der Vernichtung des Menschengeschlechts Gott zu einem einsamen Abstraktum gemacht würde, dass die Existenz des Menschen die absolute Bedingung der göttlichen Existenz selber ist,

1) G. Schwanitz.
2) Rötscher.

Σημ. πρβλ. καὶ Susemihl: *τομ.* I. p. 382—5.

indem Gott nur in dem Menschen den wahrhaften Boden seiner Verwirklichung hat, nur von dem Menschen ihm die wahrhafte Anerkennung und Ehre werden kann. Aber gewähren lassen durfte sie der Gott auch nicht, weil die rohe und unentwickelte Natur noch kein wahres Verhältnis zu dem Göttlichen hat.[1])

ΕΠΕΙΣΟΔΙΟΝ

μεταξύ Ἀριστοφάνους, Ἐρυξιμάχου, Ἀγάθωνος, Σωκράτους καὶ Φαίδρου,

ἐν ᾧ συζητεῖται κυρίως ὑπὸ Ἀγάθωνος καὶ Σωκράτους τὸ ζήτημα τῆς ὑποτιμήσεως τῶν πολλῶν, ὅπερ καὶ ἄλλοτε μεταξύ τούτων ἀντικείμενον συζητήσεως ἐγένετο. Τὸν κωμῳδίας ἄξιον λόγον αὐτοῦ δεῖται Ἀριστοφάνης Ἐρυξιμάχου μή κωμῳδῆσαι, ἵνα ἀκούσωσι τὶ Ἀγάθων καὶ Σωκράτης ἐρεῖ. Πείθεται Ἐρυξίμαχος, ἀλλὰ τὰ μὲν κωμῳδῶν „ὁ λόγος ἡδέως ἐῤῥήθη· καὶ εἰ μή ξυνήδη Σωκράτει τε καὶ Ἀγάθωνι δεινοῖς οὖσι περὶ τὰ ἐρωτικὰ πάνυ ἂν ἐφοβούμην μή ἀπορήσωσι λόγων διὰ τὸ πολλὰ καὶ παντοδαπὰ εἰρῆσθαι", τὰ δὲ σπουδάζων παρίστησι τὸν Σωκράτη δεινὸν περὶ τὰ ἐρωτικὰ καὶ Ἀγάθωνα καὶ τοὺς τρεῖς, Ἀριστοφάνη, Ἀγάθωνα καὶ Σωκράτη συνδεδεμένους ἀναφέρων δηλοῖ ὅτι ἰδίᾳ περὶ τούτων ἐν τῷ συμποσίῳ πρόκειται καὶ ὅτι ἄρχεται ὅσον οὔπω τὸ κύριον μέρος τοῦ ἔργου, μέχρι τοῦδε πολλὰ μὲν καὶ παντοδαπὰ περιλαμβάνοντος, ἀλλ' οὐδὲν θετικὸν, ὡρισμένον, βέβαιον καὶ βάσιμον, ἀληθὲς καὶ λογικόν, καὶ ὅτι λόγοι κενοὶ μέχρι τοῦδε καὶ ἀπελπισμὸς ἦν περὶ τὴν διεξαγωγὴν τοῦ θέματος· „νῦν δ' ὅμως θαῤῥῶ" διότι ἕπεται Ἀγάθων καὶ μάλιστα Σωκράτης· διὸ καὶ πρῶτον αὐτὸν ἀναφέρει· „καὶ εἰ μή ξυνήδη Σωκράτει τε καὶ Ἀγάθωνι" καὶ πέποιθε θαῤῥῶν ὅτι τέλος πάντων ἔρχεται ἡ ἀλήθεια καὶ τὸ φῶς μετὰ τὸ σκότος. Ὁ Σωκράτης πάνυ μετριοφρόνως καὶ σύναμα εἰρωνικῶς λέγει ὅτι τελευταῖος ὢν μάλα φοβεῖται καὶ ἓν παντί ἐστι καὶ σκώπτων τόν τε Ἀγάθωνα, ἐπίδειξιν λόγων ζητοῦντα ὡς ποιητήν, καὶ τὸν ὄχλον, τόν λόγοις ἐνασμενίζοντα, προπαρασκευάζει τρόπον τινά προμαντευόμενος τὸν μέλλοντα κοῦφον λόγον τοῦ

1) Rötscher.

Ἀγάθωνος. Μετὰ ταῦτα διακόπτει αὐτὸν ὁ Φαῖδρος μετὰ τοῦ Ἀγάθωνος διαλεγόμενον περὶ τῆς δόξης τῶν πολλῶν καὶ περὶ τῆς ὑπολήψεως τῶν σοφῶν, τοῦθ' ὅπερ καὶ ἐν τῇ Ἀπολογίᾳ εὕρηται ὡς ἔξῆς· „οὐ φροντιστέον, τί ἐροῦσιν οἱ πολλοὶ, ἀλλ' εἰς ὁ ἐπαΐων περὶ τῶν δικαίων καὶ ἀδίκων, αὐτὴ ἡ ἀλήθεια" καὶ παρακινεῖ ἑκάτερον ἐν μέρει ἀποδόντα τῷ θεῷ λέγειν.

ΛΟΓΟΣ ΑΓΑΘΩΝΟΣ.

„Καὶ οἱ μὲν ἄλλοι ἄνθρωποι τοῖς ἔργοις
τοὺς λόγους ἐλέγχουσιν, οὗτοι δὲ τοῖς λόγοις τα
ἔργα ζητοῦσιν ἄπιστα καθιστάναι."
Ἀντιφ. π. τ. Ἡρ. φ. 84.

Ἰατροφιλοσοφικός ἐστι κατὰ Fortlage, περιγράφεται δὲ καθ' ἡμᾶς κάλλιστα διὰ τῶν ἐν τέλει λέξεων, ὡς τὰ μέν παιδιᾶς, τὰ δέ σπουδῆς μετρίας μετέχων, ὡς εὐθὺς ἀρχόμενοι βλέπομεν „βούλομαι πρῶτον μὲν εἰπεῖν ὡς χρή με εἰπεῖν, ἔπειτα εἰπεῖν" λέγει ὅτι οἱ πρόσθεν εἰρηκότες οὐ τὸν θεὸν ἐγκωμιάζειν δοκοῦσιν αὐτῷ, ἀλλὰ τοὺς ἀνθρώπους εὐδαιμονίζειν τῶν ἀγαθῶν ὧν ὁ θεὸς αὐτοῖς αἴτιος· ὁποῖος δὲ τις αὐτὸς ὢν ταῦτα ἐδωρήσατο, οὐδεὶς εἴρηκεν. εἰς δὲ τρόπος ὀρθὸς παντὸς ἐπαίνου περὶ παντός, λόγῳ διελθεῖν, οἷος οἷων αἴτιος ὢν τυγχάνει περὶ οὗ ἂν ὁ λόγος ᾖ· οὕτω δή τὸν Ἔρωτα καὶ ἡμᾶς δίκαιον ἐπαινέσαι πρῶτον αὐτόν οἷός ἐστιν, ἔπειτα τὰς δόσεις. 195 A. Αὕτη ἐστὶν ἡ τάξις τῶν ἐγκωμίων τῶν σοφιστῶν, γένος πρῶτον καὶ εἶτα ἔργα ἐκτιθεμένων καὶ γενεαλογικῶς διὰ πάθους ἀρχομένων, ὡς θέλει καὶ Ἀγάθων ἐνταῦθα· Φησὶν οὖν ὅτι ὁ Ἔρως εὐδαιμονέσιατος πάντων θεῶν ἐστι κάλλιστος ὢν καὶ ἄριστος· πρῶτον μὲν οὖν συγγράφεται ὁ Ἔρως αὐτός ὅλος ὅτι εὐδαιμονέστατός ἐστιν· εἶτα τὸ τίνος ἕνεκα, ὅτι δηλαδὴ ἐν πρώτοις κάλλιστός ἐστιν, ἅτε νέος — φεύγων φυγῇ τό γῆρας — ἁπαλός· ἐν γάρ ἤθεσι καὶ ψυχαῖς θεῶν καὶ ἀνθρώπων τὴν οἴκησιν ἵδρυται, ὑγρός· οὐ γὰρ ἂν οἷός τ' ἦν πάντῃ περιπτύσσεσθαι οὐδὲ διὰ πάσης ψυχῆς καὶ εἰσιὼν τὸ πρῶτον λανθάνειν καὶ ἐξιών, εἰ σκληρός ἦν, συνετός ὢν καὶ ἄριστος, ἅτε δίκαιος — οὔτ' ἀδικεῖ οὔτ' ἀδικεῖται — σώφρων —

κρατῶν δέ ἡδονῶν καὶ ἐπιθυμιῶν ὁ ἔρως διαφερόντως ἂν σωφρονοῖ — ἀνδρεῖος — Ἔρωτι οὐδὲ Ἄρης ἀνθίσταται — σοφὸς — ποιητὴς ὁ θεὸς σοφὸς οὕτως ὥστε καὶ ἄλλον ποιῆσαι· πᾶς γοῦν ποιητὴς γίγνεται, κἂν ἄμουσος ᾖ τὸ πρίν, οὗ ἂν ἔρως ἅψηται — τὴν τε μουσικὴν καὶ ποίησιν πᾶσαν, ἥτις πάλιν ποίησιν τῶν ζῴων καὶ ποίησιν κατὰ τὰς τέχνας περιλαμβάνει.

Δεύτερον κατὰ τὰ ἔργα αὐτοῖ· „ἐκ τοῦ ἐρᾶν τῶν καλῶν πάντ' ἀγαθά γέγονε καὶ θεοῖς καὶ ἀνθρώποις· οὕτως ἔρως πρῶτος αὐτὸς ὢν κάλλιστος καὶ ἄριστος μετὰ τοῦτο τοῖς ἄλλοις ἄλλων τοιούτων αἴτιος εἶναι . . . 197 C.

Διὰ τοῦ „ἐγὼ δὲ Φαίδρῳ πολλὰ ἄλλα ὁμολογῶν τοῦτο οὐχ ὁμολογῶ" διδασκόμεθα ὅτι καὶ ὁ Ἀγάθων στοιχεῖά τινα τῶν λόγων τῶν πρόσθεν εἰρηκότων παραλαμβάνει καὶ οὕτω κλιμακηδὸν βαίνει τὸ ἔργον πρὸς τὴν τελειότητα αὐτοῦ· Ὅτι εἰς τὴν περὶ Ἔρωτος γενεαλογίαν οὐ συμφωνεῖ τῷ Φαίδρῳ, τοῦτο δηλοῖ τὴν κατὰ τὸ δοκοῦν ἑκάστῳ ἑρμηνείαν τῶν μυθολογημάτων τῶν ἀρχαίων, ἅτινα ὁ Πλάτων παλαιὰ περὶ θεοὺς πράγματα ἀποκαλεῖ.

Ἡ δὲ ἐπιτυχεστάτη παρεμβολὴ τῶν Πλάτωνι πεποιημένων στίχων πρὸς περαιτέρω σκῶψιν τῶν τε σοφιστῶν καὶ ποιητῶν κεῖται. Καὶ ἐνταῦθα παρατηροῦμεν ὅτι ἐλλείπει ἀρχή τις καὶ ἀξίωμα ἀρχικόν, ὅτι οἱ λόγοι πνίγουσι τὸ θέμα τοῦ λόγου, ὅτι κατὰ σοφιστικὴν δύναμιν λόγων ἀνάκειται καὶ τοῦ Ἀγάθωνος ὁ λόγος τῷ θεῷ τὰ μὲν παιδιᾶς, τὰ δὲ σπουδῆς μετρίας μετέχων.

Λέγεται δέ ὡς καὶ ὁ Γοργίας αὐτὸς ἀναγνοὺς τὸν ὁμώνυμον αὐτῷ διάλογον πρὸς τοὺς συνήθεις ἔφη· „ὡς καλῶς οἶδε Πλάτων ἰαμβίζειν" [1]). *Ἰδοὺ τί λέγουσι καὶ ἄνδρες λόγιον·*

„Hinter dem dichterischen Spiel liegt der Gedanke verborgen, dass das Reich des Friedens und der Liebe, oder wie wir uns ausdrücken, der Humanität und Gesittung, nur allmählig sich aus einem Zustande ungezügelter Wildheit und roher Naturkraft herausgebildet habe."[2])

„Aber eben dieser Unterschied des gemeinen und philosophischen Bewusstseins ist es, den Platon noch einmal in recht scharfen Zügen hervorheben will, indem er, statt auf die aristophanische Rede unmittelbar die sokratische, als ihre Verklärung folgen zu lassen, die Rede Agathons, gleichsam als Markstein des gemeinen und philosophischen Bewusstseins zwischen sie hineinstellt. Diese Rede, ihr geistloser phraseologischer Flitterstaat, so wie die allgemeine Bewunderung, mit der sie von Seiten der übrigen Tischgesellschaft aufgenommen wird, 198 A, bildet einen höchst wirksamen Contrast zu der ernsten, aus den Tiefen des Gedankens geschöpften Rede des Sokrates. Mit einer Probe lysianischer Beredtsamkeit hatten die Tischreden begonnen, mit einem Muster gorgianischen Prunks schliessen sie."[1])

1) *Ἀθην.* 11, p. 505.
2) G. Schwanitz, Platon. Stud. Frankfurt a. M. 1864.

ΕΠΕΙΣΟΔΙΟΝ

μεταξὺ Σωκράτους καὶ Ἀγάθωνος.

„. . . . . ἀνθρώποισι γάρ
τοῖς πᾶσι κοινὸν ἐστι τοὐξαμαρτάνειν."
Σοφ. Ἀντιγ., v. 1024.

Ἐν τῷ ἐπεισοδίῳ τούτῳ σκώπτεται ὁ Ἀγάθων ὡς πρεπόντως ἑαυτῷ εἰρηκὼς, δηλονότι σοφιστικῶς, καὶ τοῦ θεοῦ κατὰ τὴν ἐπιδοκιμασίαν πάντων ἅτε μαντεισάμενος τὰς σκέψεις αὐτῶν· ἐντεῦθεν συμπεραίνομεν ὅτι ὑψίστη μόρφωσις καὶ ἀγωγὴ ἐνομίζετο κοινῶς παρὰ τῶν πολλῶν ἡ εὔροια λόγου καὶ σοφιστικὴ ἐπιπολαιότης ἄνευ ἐννοιῶν λόγων καὶ λέξεων καὶ σχημάτων λέξεως καὶ διανοίας κατὰ τὸ παράδειγμα τοῦ Γοργίου.

. . . . . οἱ γὰρ ἐν σοφοῖς
φαῦλοι παρ' ὄχλῳ μουσικώτεροι λέγειν" [2]).

Ὁ Σωκράτης παρατείνων τὸν μετὰ τοῦ Ἐρυξιμάχου πρὸ τοῦ λόγου τοῦ Ἀγάθωνος ἀρξάμενον ἤδη εἴρωνα διάλογον αὐτοῦ σκώπτει τὸν παντοδαπόν καὶ καλὸν λόγον, τὸ κάλλος τῶν ὀνομάτων καὶ ρημάτων καὶ αἰσχύνεται λέγει μὴ δυνάμενος οὕτως εἰπεῖν, ὥσπερ ὁ Γοργίας, δηλονότι ὡς μέγιστα ἀνατιθέναι τῷ πράγματι καὶ ὡς κάλλιστα, ἐάν τε ἢ οὕτως ἐχοντα ἐὰν τε μή· καὶ οὐχὶ ὥσπερ Σωκράτης ᾤετο δεῖν τἀληθῆ λέγειν περὶ ἑκάστου τοῦ ἐγκωμιαζομένου· καὶ

1) Schwegler, über d. Composit. d. Platon. Symp.
2) *Εὐριπιδ. Ἱππόλ.* v. 989.

ὅτι οὐ φροντίζει ὡς οἱ σοφισταί, ὅπως ἂν φαίνηται ὡς κάλλιστος καὶ ἄριστος τοῖς μὴ γιγνώσκουσιν ὁ ἔρως ἐπιφέρων πᾶν ψεῦδος καὶ πάντα λόγον κινῶν, ἀλλά τὰ ἀληθῆ ἐρεῖ κατὰ τό εἰωθός αὐτῷ ὀνόμασι καί θέσει ρημάτων τοιαύτῃ, ὁποία ἂν τις τύχῃ ἐπελθοῦσα.

Λαβὼν οὖν ὁμολογίαν παρὰ τοῦ Ἀγάθωνος τῇ συγκαταθέσει τοῦ Φαίδρου ἄρχεται ὡς ἐξῆς ἐλέγχων ἐν τῷ Ἀγάθωνι πάντας τούς σοφιστὰς τοὺς κτείνοντας τὸν νοῦν καὶ θυσιάζοντας αὐτὸν τῷ λόγῳ καὶ τῇ θέσει τῶν ὀνομάτων καὶ ρημάτων. Ὅτι ὁ Φαῖδρος ἐν παντί ἐπεισοδίῳ εὕρηται καὶ δικάζει ὡς ἔπος εἰπεῖν, εὐνόητον ἐκ τῶν πρόσθεν εἰρημένων, ἅτε πατήρ τοῦ λόγου ὢν καὶ πρῶτος εἰπών.

ΛΟΓΟΣ ΣΩΚΡΑΤΟΥΣ.

„Πέρας δέ τῶν πόνων γενναίῳ μέν ἀνδρί
οὐδέν δοκῶ ἔγωγε ὅτι μή αὐτοὺς τοὺς πόνους,
ὅσοι αὐτῶν εἰς καλά ἔργα φέρουσιν."
„Πονούντων τε καὶ κινδυνευόντων τὰ καλὰ
ἔργα, καὶ ζῆν τε ξὺν ἀρετῇ ἡδύ καὶ ἀποθνήσκειν."
Ἀρριαν. Ἀναβ. 5, 26, 1—4.

Περιλαμβάνει ὁ λόγος οὗτος κριτικὴν τοῦ λόγου τοῦ Ἀγάθωνος διαλεκτικῶς καὶ διάλογον μεταξύ Σωκράτους καὶ Διοτίμας, ἐν ᾧ ἐκτυλίσσεται ἡ ὑψίστη πλατωνική θεωρία περὶ τῆς ἰδέας τοῦ καλοῦ. Ὁ Σωκράτης κατὰ τὸν τρόπον τῶν σοφιστῶν παραδέχεται ἐν πρώτοις τὴν τάξιν τῶν ἐγκωμίων καὶ δή περί Ἔρωτος πρῶτον ὁποῖός τίς ἐστιν ὁ ἔρως, ὕστερον δὲ τὰ ἔργα αὐτοῦ καὶ ἀναγκάζει τὸν Ἀγάθωνα ὁμολογῆσαι ὅτι ὁ Ἔρως ἔρως ἐστίν τινός, οὗ καὶ ἐπιθυμεῖ, ἅτε μή ἔχων αὐτό καὶ τὸ ἐπιθυμοῦν ἀνάγκη ἐπιθυμεῖ οὗ ἐνδεές ἐστιν καὶ νῦν τε καὶ εἰς τὸν ἔπειτα χρόνον· ὥστε ὁ Ἔρως ἐστίν πρῶτον μὲν τινῶν, ἔπειτα τούτων, ὧν ἂν ἐνδεια παρῇ αὐτῷ, ἀλλὰ ὁ ἔρως ἔρως ἐστί κάλλους, αἴσχους δ' οὔ, αἰσχρῶν γὰρ οὐκ εἴη ἔρως, κατὰ τὸν πρόσθεν λόγον τοῦ Ἀγάθωνος· ὅτι τοῖς θεοῖς κατεσκευάσθη τὰ πράγματα δι' ἔρωτα καλῶν", καὶ οὗ ἐνδεής ἐστι καὶ μή ἔχει, τούτου ἐρᾷ· ἄρα ἐνδεὴς ἐστιν καὶ οὐκ ἔχει ὁ ἔρως κάλλος. Τὸ δὲ

ἐνδεές κάλλους οὐ καλὸν οὐδέ ἀγαθόν, τὰ γάρ ἀγαθὰ καὶ καλά ἐστι, ἄρα ὁ ἔρως τῶν καλῶν καὶ ἀγαθῶν ἐνδεής ἐστιν. Ταῦτα συνομολογήσαντος τοῦ σοφιστοῦ Ἀγάθωνος „κινδυνεύω, ὦ Σώκρατες, οὐδέν εἰδέναι ὧν τότε εἶπον" καὶ μή δυναμένου τῇ ἀληθείᾳ ἀντιλέγειν ἐᾷ αὐτόν ὁ Σωκράτης ἐξεντελίσας καὶ ἀνόητον καὶ κοῦφον καὶ ἄλογον καὶ μηδαμῶς τῆς ἀληθείας ἐχομένην ἀποδείξας τὴν σοφιστικήν.

Μεταβαίνει οὖν εἰς τὸν μετὰ τῆς Διοτίμας διάλογον ἤγουν εἰς τό δεύτερον καὶ κύριον μέρος τοῦ λόγου αὐτοῦ κατὰ τὴν ὑπόσχεσιν „πάρες μοι Ἀγάθωνα σμικρ' ἄττα ἐρέσθαι, ἵνα ἀνομολογησάμενος παρ' αὐτοῦ οὕτως ἤδη λέγω" 199 B, καὶ ὅπερ ὁ Πλάτων εἰς τό στόμα τῆς Διοτίμας τίθησιν, δι' οὗς ἐν τῷ πρώτῳ μέρει τῆς παρούσης πραγματείας ἐξεθέμεθα λόγους. Φυλάττων οὖν τὴν σοφιστικὴν τάξιν τῶν ἐγκωμίων προβαίνει συνῳδά τοῖς ὡμολογημένοις αὐτῷ καὶ Ἀγάθωνι αὐτός ἀφ' ἑαυτοῦ, ὅπως ἂν δύνηται, λέγων ὅτι οὔτε καλός οὔτε ἀγαθός ἐστιν ὁ Ἔρως, ἀλλ' οὔτε αἰσχρός καὶ κακός κατὰ Διοτίμαν, μεταξύ δέ τι τούτοιν καὶ ὅτι οὐκ ἔστι θεός, οἱ γάρ θεοί εὐδαίμονες κτήσει ἀγαθῶν καὶ καλῶν, ἀλλ' ὁ ἔρως ἐνδεής ἐστι καὶ ἐπιθυμεῖ τῶν καλῶν καὶ ἀγαθῶν· πῶς ἄν οὖν θεὸς εἴη ὅ γε τῶν καλῶν καὶ ἀγαθῶν ἄμοιρος;

„οὐ γάρ Ἔρως θεός ἐστι „Pseudophocyl. v. 194 ἐν Bergk. ἀλλ' οὔτε θνητός ἐστι, ἀλλ' ὥσπερ τὰ πρότερα, μεταξύ θνητοῦ καὶ ἀθανάτου, δαίμων μέγας, δι' οὗ πᾶσά ἐστιν ἡ ὁμιλία καὶ ἡ δεάλεκτος θεοῖς πρὸς ἀνθρώπους καὶ πρὸς θεούς ἀνθρώποις καί ὁ μὲν περὶ τὰ τοιαῦτα σοφός δαιμόνιος ἀνήρ, ὁ δὲ ἄλλο τι σοφός ὢν ἢ περὶ τέχνας ἢ χειρουργίας τινάς βάναυσος. Ἐκ τῶν πολλῶν οὖν καὶ παντοδαπῶν δαιμόνων εἷς ἐστιν καὶ ὁ Ἔρως, πατρὸς δέ καὶ μητρός μακρότερον διηγήσασθαι· δηλονότι περιττόν, οὐκ ἀναγκαῖον, ὅμως δέ σοι ἐρῶ. Ἐντεῦθεν ἄρχεται ἡ ἀλληγορία περὶ τῆς καταγωγῆς τοῦ Ἔρωτος κατὰ τὴν πρόσθεν τάξιν, Γένος, Ἔργα αὐτοῦ, καὶ δή ὅτι υἱός ἐστι τοῦ Πόρου καὶ τῆς Πενίας καὶ ἀκόλουθος καὶ θεράπων τῆς Ἀφροδίτης γεννηθείς ἐν τοῖς ἐκείνης γενεθλίοις, καὶ ἅμα φύσει ἐραστής ὢν περὶ τὸ καλὸν καὶ τῆς Ἀφροδίτης καλῆς οὔσης· ἅτε οὖν Πόρου καὶ πενίας υἱός ὢν ὁ Ἔρως, πρῶτον μὲν πένης ἀεί ἐστιν σκληρός καὶ αὐχμηρός καὶ ἀνυπόδητος καὶ ἄοικος

χαμαιπετής καὶ ἄστρωτος ἐπὶ θύραις καὶ ἐν ὁδοῖς ὑπαίθριος κοιμώμενος, ἀεὶ ἐνδεὶᾳ ξύνοικος τὴν τῆς μητρός φύσιν ἔχων· κατὰ δ' αὖ τὸν πατέρα ἐπίβουλός ἐστι τοῖς καλοῖς καὶ τοῖς ἀγαθοῖς, ἀνδρεῖος ὢν καὶ ἴτης καὶ σύντονος, θηρευτής δεινός ἀεὶ μηχανάς πλέκων, φρονήσεως ἐπιθυμητής καὶ πόριμος, φιλοσοφῶν διὰ παντὸς τοῦ βίου, δεινός γόης καὶ φαρμακεύς καὶ σοφιστής, μεταξύ θνητοῦ καὶ ἀθανάτου, εὐπορίας καὶ ἀπορίας, σοφίας καὶ ἀμαθίας· ἡ γάρ σοφία τῶν καλλίστων ἐστίν, ἔρως δ' ἐστίν ἔρως περί τό καλόν, ὥστε ἀναγκαῖον ἔρωτα φιλόσοφον εἶναι, φιλόσοφον δέ ὄντα μεταξύ εἶναι σοφοῦ καὶ ἀμαθοῦς· Ἡ μὲν οὖν φύσις τοῦ δαίμονος αὕτη· Τοιοῦτος ὢν ὁ ἔρως τίνα χρείαν ἔχει τοῖς ἀνθρώποις; ὁ Ἔρως ἐστίν τῶν καλῶν καὶ τῶν ἀγαθῶν ἤτοι διὰ τούτων ὡς μέσων ὁδηγεῖ εἰς εὐδαιμονίαν, εἶναι κοινός πάντων ἀνθρώπων ἀεὶ βουλομένων αὐτοῖς τὰ ἀγαθά εἶναι,

„φιλεῖ γάρ πρὸς τὰ χρηστά πᾶς ὁρᾶν“ Σοφ. Ἡλ. v. 972.

ἀλλ' οὐ πάντας ἐρᾶν φαμεν· ἀφελόντες γὰρ τοῦ ἔρωτός τι εἶδος ὀνομάζομεν, τὸ τοῦ ὅλου ἐπιτιθέντες ὄνομα, ἔρωτα, τὰ δέ ἄλλα ἄλλοις καταχρώμεθα ὀνόμασιν, ὥσπερ ἐν τῇ ποιήσει, οὕτω τοίνυν καὶ περὶ τόν ἔρωτα· τὸ μέν κεφάλαιόν ἐστι πᾶσα ἡ τῶν ἀγαθῶν ἐπιθυμία καὶ τοῦ εὐδαιμονεῖν ὁ μέγιστός τε καὶ δολερός ἔρως παντί· ἀλλ' οἱ μὲν ἄλλῃ τρεπόμενοι πολλαχῇ ἐπ' αὐτό, ἢ κατὰ χρηματισμόν ἢ κατὰ φιλογυμναστίαν ἢ κατὰ φιλοσοφίαν οὔτ' ἐρᾶν καλοῦνται οὔτ' ἐρασταί, οἱ δὲ κατὰ ἕν τι εἶδος ἰόντες τε καὶ ἐσπουδακότες τὸ τοῦ ὅλου ὄνομα ἴσχουσιν.

Ἐνταῦθα σκώπτων τὸν λόγον τοῦ Ἀριστοφάνους, περὶ τοῦ ἡμίσεος ἑκάστου, λέγει ὁ δ' ἐμός λόγος οὔτε ἡμίσεός φησιν εἶναι τὸν Ἔρωτα οὔτε ὅλον, ἐάν μή τυγχάνῃ γέ που, ὦ ἑταῖρε, ἀγαθὸν ὄν. Ἔστιν ἄρα ξυλλήβδην ὁ ἔρως τοῦ τὸ ἀγαθὸν αὐτῷ εἶναι ἀεί. Τῶν τίνα τρόπον διωκόντων αὐτό καὶ ἐν τίνι πράξει ἡ σπουδή καὶ ἡ σύντασις ἔρως ἂν καλοῖτο; τί τοῦτο τυγχάνει ὂν τό ἔργον; Ἔστι γὰρ τοῦτο τόκος ἐν καλῷ καὶ κατὰ τό σῶμα καὶ κατὰ τὴν ψυχήν. ἔστι δὲ τοῦτο θεῖον τό πρᾶγμα, καὶ τοῦτο ἐν θνητῷ ὄντι τῷ ζώῳ ἀθάνατον ἔνεστιν, ἡ κύησις καὶ ἡ γέννησις. Τὰ δ' ἐν τῷ ἀναρμόστῳ ἀδύνατον γενέσθαι. ἀνάρμοστον δ' ἐστί τὸ αἰσχρόν παντί τῷ θείῳ, τὸ δὲ καλὸν ἁρμόττον. Ἔστι γάρ

οὐ τοῦ καλοῦ ὁ ἔρως, ἀλλὰ τῆς γεννήσεως καὶ τοῦ τόκου ἐν τῷ καλῷ. τί δή οὖν τῆς γεννήσεως; ὅτι ἀειγενές ἐστι καὶ ἀθάνατον ὡς θνητῷ ἡ γέννησις. ἀθανασίας δὲ ἀναγκαῖον ἐπιθυμεῖν μετὰ ἀγαθοῦ ἐκ τῶν ὡμολογημένων, εἴπερ τοῦ ἀγαθοῦ ἑαυτῷ εἶναι ἀεί ἔρως ἐστί. ἀναγκαῖον δέ ἐκ τούτου τοῦ λόγου, καὶ τῆς ἀθανασίας τὸν ἔρωτα εἶναι. Τί οἴει αἴτιον εἶναι τούτου τοῦ ἔρωτος καὶ τῆς ἐπιθυμίας; Ἡ θνητή φύσις ζητεῖ κατὰ τό δυνατὸν τό ἀεί εἶναι· δύναται δέ ταύτῃ μόνον, ὅτι ἀεὶ καταλείπει ἕτερον νέον ἀντὶ τοῦ παλαιοῦ, τούτῳ γάρ τῷ τρόπῳ πᾶν τό θνητόν σώζεται, οὐ τῷ παντάπασιν τὸ αὐτὸν ἀεί εἶναι ὥσπερ τό θεῖον, ἀλλὰ τῷ τό ἀπιόν καὶ παλαιούμενον ἕτερον νέον ἐγκαταλείπειν οἷον αὐτό ἦν· ταύτῃ τῇ μηχανῇ θνητόν ἀθανασίας μετέχει καὶ σῶμα καὶ τἆλλα πάντα· ἀδύνατον δὲ ἄλλῃ· μὴ οὖν θαύμαζε, εἰ τὸ αὐτοῦ ἀποβλάστημα φύσει πᾶν τιμᾷ· ἀθανασίας γάρ χάριν παντὶ αὕτη ἡ σπουδή καὶ ὁ ἔρως ἕπεται.

Ἐντεῦθεν ἄρχεται ἡ ἠθική σημασία τοῦ Ἔρωτος „φιλοτιμία τῶν ἀνθρώπων κλέος εἰς τὸν ἀεί χρόνον ἀθάνατον καταθέσθαι“ πάσῃ θυσίᾳ οἷον Ἄλκηστις, Ἀχιλλεύς, Κόδρος, τοῦ γάρ ἀθανάτου ἐρῶσι· οἱ μὲν οὖν ἐγκύμονες κατὰ τὰ σώματα ὄντες πρὸς τὰς γυναῖκας μᾶλλον τρέπονται καὶ ταύτῃ ἐρωτικοί εἰσιν, διὰ παιδογονίας ἀθανασίαν καὶ μνήμην καὶ εὐδαιμονίαν, ὡς οἴονται, αὑτοῖς εἰς τὸν ἔπειτα χρόνον πάντα ποριζόμενοι· οἱ δὲ κατὰ τήν ψυχήν, ἃ ψυχῇ προσήκει καὶ κυῆσαι καὶ τεκεῖν· οἷον φρόνησίν τε καὶ τήν ἄλλην ἀρετήν, ὡς Ὅμηρος, Ἡσίοδος, Λυκοῦργος, Σόλων καὶ ἄλλοι γεννήσαντες παντοίαν ἀρετήν· ὧν καὶ ἱερὰ πολλὰ ἤδη γέγονεν διὰ τοὺς τοιούτους παῖδας, διὰ δὲ τοὺς ἀνθρωπίνους οὐδενός πω. Μέχρι τοῦδε ἦν τό εἰσαγωγικόν καὶ προκαταρκτικόν ὡς ἔπος εἰπεῖν μέρος, νῦν δέ μεταβαίνομεν εἰς τὸν σχηματισμόν τῆς ἰδέας τοῦ καλοῦ κατὰ Πλάτωνα.

Ταῦτα μὲν οὖν τὰ ἐρωτικά ἴσως κἂν σὺ μυηθείης· τὰ δὲ τέλεα καὶ ἐποπτικά, ὧν ἕνεκα καὶ ταῦτα ἔστιν, ἐάν τις ὀρθῶς μετίῃ, οὐκ οἶδ' εἰ οἷός τ' ἂν εἴης. ἐρῶ μὲν οὖν, πειρῶ δέ ἕπεσθαι, ἂν οἷός τε ᾖς.

„Πόνου τοι χωρίς οὐδὲν εὐτυχεῖ.“ Σοφ. Ἡλ. v. 945.

Κατὰ Schwegler σημαίνει τοῦτο ὅτι ἀνώτεραι ἰδέαι εἰσίν

ἢ κατὰ Σωκράτη ἤτοι καθαρῶς πλατωνική φιλοσοφία καὶ ὅτι ἅπας ὁ λόγος τοῦ Σωκράτους ἐστὶν ἡ διαλεκτική τοῦ ἔρωτος, ἡ Phaenomenologie der Liebe".

Διὰ τούτων εἰσάγει ἡμᾶς εἰς τήν ἰδέαν τοῦ καλοῦ ὁ Πλάτων καὶ δή ὡς ἔπεται· νέον ὄντα ἰέναι ἐπὶ τὰ καλὰ σώματα καὶ πρῶτον ἑνός αὐτῶν σώματος ἐρᾶν καὶ ἐνταῦθα γεννᾶν λόγους καλούς, ἔπειτα δέ αὐτὸν κατανοῆσαι, ὅτι τό κάλλος τό ἐπί ὁτῳοῦν σώματι τῷ ἐπὶ ἑτέρῳ σώματι ἀδελφόν ἐστιν, τοῦτο δ' ἐννοήσαντα καταστῆναι πάντων τῶν καλῶν σωμάτων ἐραστήν, μετὰ δέ ταῦτα τὸ ἐν ταῖς ψυχαῖς κάλλος τιμιώτερον ἡγήσασθαι τοῦ ἐν τῷ σώματι, μετὰ ταῦτα τὸ ἐν τοῖς ἐπιτηδεύμασι καὶ τοῖς νόμοις καλόν θεάσασθαι καὶ μετά ταῦτα τό τῶν ἐπιστημῶν κάλλος ἰδεῖν καὶ ἐπὶ τὸ πολύ πέλαγος τετραμμένος τοῦ καλοῦ καὶ θεωρῶν πολλούς καὶ καλούς λόγους καὶ μεγαλοπρεπεῖς τίκτει καὶ διανοήματα ἐν Φιλοσοφίᾳ ἀφθόνῳ, ἕως ἄν ἐνταῦθα ρωσθείς καὶ αὐξηθείς κατίδῃ τινά ἐπιστήμην μίαν τοιαύτην, ἥ ἐστι καλοῦ τοιοῦδε· τοῦ ἀεί ὄντος καὶ οὔτε γιγνομένου οὔτε ἀπολλυμένου, οὔτε αὐξανομένου οὔτ φθίνοντος, οὐ τῇ μὲν καλόν, τῇ δ' αἰσχρόν, οὐδέ τοτέ μὲν, τοτέ δέ οὔ, οὐδὲ πρός μὲν τὸ καλὸν, πρὸς δὲ τὸ αἰσχρόν, οὐδ' ἔνθα μὲν καλὸν, ἔνθα δέ αἰσχρόν· οὐδ' αὖ φαντασθήσεται αὐτῷ τό καλὸν οἷον πρόπωπόν τι οὐδέ χεῖρες οὐδὲ ἄλλο οὐδὲν ὧν σῶμα μετέχει, οὐδέ τις λόγος οὐδέ τις ἐπιστήμη, οὐδέ που ὂν ἐν ἑτέρῳ τινί, οἷον ἐν ζῴῳ ἢ ἐν οὐρανῷ ἤ ἔν τῳ ἄλλῳ, ἀλλ' αὐτό καθ' αὑτό μεθ' αὑτοῦ μονοειδές ἀεὶ ὄν, τὰ δέ ἄλλα πάντα καλά ἐκείνου μετέχοντα τρόπον τινά τοιοῦτον, οἷον γιγνομένων τε τῶν ἄλλων καὶ ἀπολλυμένων μηδέν ἐκεῖνο μήτε τι πλέον μήτε ἔλαττον γίγνεσθαι, μηδὲ πάσχειν μηδέν. Ὅταν δή τις ἀπὸ τῶνδε διὰ τὸ ὀρθῶς παιδεραστεῖν ἐπανιὼν ἐκεῖνα τό καλόν ἄρχηται καθορᾶν, σχεδόν ἄν τι ἅπτοιτο τοῦ τέλους. τοῦτο γάρ δή ἐστι τὸ ὀρθῶς ἐπὶ τὰ ἐρωτικὰ ἰέναι ἢ ὑπ' ἄλλου ἄγεσθαι, ἀρχόμενον ἀπὸ τῶνδε τῶν καλῶν ἐκείνου ἕνεκα τοῦ καλοῦ ἀεὶ ἐπανιέναι, ὥσπερ ἐπαναβαθμοῖς χρώμενον, ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυοῖν ἐπί πάντα τὰ καλά σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπί τὰ καλά ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ἐπί τὰ καλὰ μαθήματα, ὡς ἀπὸ τῶν μαθημάτων ἐπ' ἐκεῖνο τό μάθημα τελευτήσῃ, ὅ ἐστιν οὐκ ἄλλου ἤ αὐτοῦ ἐκείνου

τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτό τελευτῶν ὅ ἔστι καλόν· ὦ ἰδὼν οὐ κατὰ χρυσίον τε καὶ ἐσθῆτα καὶ τούς καλούς παῖδάς τε καὶ νεανίσκους δόξει σοι εἶναι. Ἐνταῦθα αὐτῷ μοναχοῦ γενήσεται, ὁρῶντι ᾧ ὁρατόν τό καλὸν, τίκτειν οὐκ εἰδώλα ἀρετῆς, ἅτε οὐκ εἰδώλου ἐφαπτομένῳ, ἀλλ' ἀληθῆ, ἅτε τοῦ ἀληθοῦς ἐφαπτομένῳ· τεκόντι δὲ ἀρετήν ἀληθῆ καὶ θρεψαμένῳ ὑπάρχει θεοφιλεῖ γενέσθαι, καὶ εἴπερ τῳ ἄλλῳ ἀνθρώπων ἀθανάτῳ καὶ ἐκείνῳ." 212 A.

Ἐν τέλει πεπεισμένος λέγει ὁ Πλάτων διὰ τοῦ στόματος τοῦ Σωκράτους ὅτι πρὸς ἀπόλαυσιν τοῦ καλοῦ συνεργός ἀμείνων ἔρωτος οὐκ ἔστιν αὐτός τε τιμᾷ καὶ ἀσκεῖ καὶ τοῖς ἄλλοις παρακελεύεται ταῦτα.

„Ταῦτα διδάξαι θυμός Ἀθηναίους με κελεύει."

Σόλων.

. . . . . βούλομαι δ', ἄναξ, καλῶς
δρῶν ἐξαμαρτεῖν μᾶλλον ἢ νικᾶν κακῶς."

Σοφ. Φιλοκτ. v. 94—95.

nur als Verzierung ansehen“ will, (II, 374), eine Stelle anzuweisen gesucht. Allein so lange jene Trilogie, die zudem auf völliger Verkennung der zusammengestellten Gespräche nach Anlage und Ausführung beruht, festgehalten und demgemäss für *Συμπόσιον* selbst der Hauptaccent auf das Lebensbild des Philosophen gelegt wird, bleibt künstlerische Einheit des Gesprächs und das geistige Band, das seine einzelnen Bestandtheile zusammenhält, zerrissen. Die wahre Consequenz dieses Standpunkts wäre, den Liebesreden einen materialen Werth für die Idee des Gesprächs geradezu abzusprechen, und ihnen nur eine formale Bedeutung zuzugestehen. Diese Consequenz hat Rückert wirklich gezogen. Der Zweck des Dialogs ist ihm die Schilderung des praktischen Weisen, die Charakterisirung des Philosophen, wie er sein soll, in Sokrates Person; p. 324 Socratis concreto persona Plato usus est, qua philosophi per sé cogitati dignitas ac divinus fere mentis habitus illustraretur; — Socratis nomine philosophi imago proponitur. Jam vero philosophi virtus duobus sese manifestat, veri perscrutandi ratione ac vitae honestate ad veritatis regulam componenda — utriusque erat specimen in convivio exhibendum); in den vorhergehenden Reden sollte nur an Beispielen gezeigt werden, wie eine Untersuchung über philosophische Gegenstände beschaffen sein müsse. Der *Ἔρως* ist hiernach gar nicht Gegenstand und Idee des Gesprächs, sondern nur zufälliges, für die Tendenz desselben gleichgiltiges Redethema, nach Art der lysianischen Rede im *Φαῖδρος*; selbst die Rede des Sokrates ist nur methodologisches Muster p. 304: orationes illae non exhibent sententias de amore, de quo aut plane nihil inest, aut quae dicuntur, alio pertinent, verum perversae et sophisticae tractandi rationis specimina exhibentur, Socratis oratione non amor magis describitur quam recta inquirendi et docendi ratio exhibetur. In dieser Carrikatur der Schleiermacher'schen Auffassung erkennen wir ganz die mangelhafte Seite der Letzteren. War es das Mangelhafte der eben erwähnten Auffassungen, ein so einseitiges Uebergewicht auf einen Theil des ganzen Gesprächs zu legen, dass man die Fäden der übrigen Theile aus der Hand verlor, so muss eine Ansicht, welche die schriftstellerischen Motive in äusserlichen Zwecken

sucht, noch viel unbefriedigender erscheinen, weil sie für die Erklärung der Composition selbst nichts leistet. So hat man das Gespräch als eine Rechtfertigung des Sokrates auffassen wollen gegen den Verdacht eines unsittlichen Umgangs mit jungen Männern, wie Alkibiades. Man muss sich wundern, wie selbst noch Fr. A. Wolf Einl. p. XXX ff. dieser Meinung Diderot's hat beipflichten mögen. Denn abgesehen davon, dass diese Unterstellung auf völlig unhistorischen Voraussetzungen beruht, deren Grundlosigkeit schon aus der für den damaligen Stand der Sitte und öffentlichen Meinung so charakteristischen Rede des *Παυσανίας* ersehen werden konnte, so findet sich bei den Alten nicht einmal die leiseste Spur eines solchen Verdachts gegen Sokrates. Was die Kirchenväter des fünften Jahrhunderts, ein Theodoret und Cyrill, unter Berufung auf Porphyr, vorbringen, gründet sich auf Missverständnisse; anders, wie z. B. die Andeutungen des vorgeblichen Lucian in den Amoren cap. 24., auf muthwilligen Verdrehungen, zu welchen beidem das platonische *Συμπόσιον* selbst erst Anlass und Stoff gegeben hat. Allerdings wurde dem Sokrates, was schon die bekannte Anklageformel erkennen lässt, der Umgang mit Jünglingen, wie Alkibiades, zum Vorwurf gemacht, aber die Formel selbst hatte, es braucht dies kaum erinnert zu werden, einen anderen Sinn: Sokrates wurde als Sophist angeklagt und verdammt. In dieser Beziehung kann man sich nun allerdings der Annahme nicht erwehren, dass die Rücksicht auf jene schiefe und zerrbildliche Auffassung des Sokrates, welche in den aristophanischen Wolken ihren sprechendsten Ausdruck gefunden und später ohne Zweifel auch das Todesurtheil gegen den Philosophen hervorgerufen hatte, nicht ohne Einfluss auf die Charakteristik des Sokrates in der Rede des Alkibiades geblieben sei. Eine Apologie des Philosophen gegen seine Identificirung mit dem hohlen, lächerlichen, moralisch und politisch corrosiven Treiben der Sophistik kann allerdings zu den schriftstellerischen Motiven — nur nicht der Composition des Gesprächs, sondern gerade dieser Fassung der Rede des Alkibiades gehört haben. Nicht nur lässt das dem Alkibiades entschlüpfte Wort: *ὦ ἄνδρες δικασταί* 219 C. das er sodann nicht ohne Zwang auf die Tischgesellschaft umdeutet — sondern auch vor allem die Citation eines Verses aus den Wolken 211 B. einen solchen Gedankenzusammenhang vermuthen. Diese Citation, indem sie gerade das zur Verherrlichung des Philosophen wendet, was *Ἀριστοφάνης* zu seiner Herabsetzung gesagt hatte, enthält die feinste und treffendste Satyre gegen den Komiker, der einen Mann, wie Sokrates, nur nach seiner unverstandenen „silenenhaften“ Aussenseite beurtheilt hatte, statt unter der unscheinbaren Hülle das köstliche Kleinod, das sie verbarg, zu gewahren. Die Beziehung des Symposions zu den Wolken wäre noch schlagender, wenn die Deutung, welche Süvern dem Phidippides der letzteren gegeben hat, indem er in ihm die Züge des jungen Alkibiades zu erkennen glaubt, (Süvern, Wolken 8. 35 ff.) durchaus nachweisbar wäre. Aber auch ohne diese Annahme bleiben noch genug Berührungspunkte zwischen beiden übrig, die zum Theil von selbst in die Augen fallen.“[1])

„Das Schöne ist demnach die concrete Gestat des Göttlichen, diejenige Form, in welcher es dem Menschen am nächsten kommt und sich ihm am anschaulichsten darstellt. Daher liegt, wenn Plato das Göttliche vorzugsweise unter der Form des Schönen auffasst, dabei die Anerkennung der Wahrheit zu Grunde, dass das Göttliche selbst dem Menschen sich offenbaren und in sichtbarer Gestalt ihm entgegentreten müsse, wenn es in ihm zum vollen Bewusstsein kommen soll. So spricht sich in der platonischen Lehre vom Schönen die Ahnung einer Wahrheit aus, deren vollkommene Realisirung durch Christus als das sichtbare Bild des unsichtbaren Gottes der eigenthümlichste Charakter des Christenthums ist. Das Göttliche muss selbst in concreter Gestalt dem Menschen nahe kommen, wenn es den seiner Natur entsprechenden Eindruck auf ihn machen soll, ist es aber anf diese Weise ihm nahe gekommen, so wirkt es auch mit einer Macht auf ihn, die alle schlummernden Funken des Göttlichen weckt und sein ganzes Wesen durchdringt.“[2])

1) Schwegler.

2) Chr. Baur, das Christl. d. Platonismus, Tübingen 1837, p. 54. und H. Sauppe in der kleiner. Ausgabe des Symp.

„Die platonische Philosophie ist das vollendetste philosophische Produkt aus jener ewig merkwürdigen Blüthezeit, der Jugendblüthe menschlichen Geistes, welchen wir die Keime aller der Institutionen verdanken, von welchen die Civilisation des neuen Europa ausgegangen ist.“[1])

„Plato verhält sich zu der Welt wie ein seliger Geist, dem es beliebt, einige Zeit auf ihr zu herbergen. Es ist ihm nicht sowohl darum zu thun, sie kennen zu lernen, weil er sie schon voraussetzt, als ihr dasjenige, was er mitbringt und was ihr so Noth thut, freundlich mitzutheilen. Er dringt in die Tiefen, mehr um sie mit seinem Wesen auszufüllen, als um sie zu erforschen. Er bewegt sich nach der Höhe mit Sehnsucht seines Ursprungs wieder theilhaft zu werden. Alles was er äussert bezieht sich auf ein ewig Ganzes, Gutes, Wahres, Schönes, dessen Förderung er in jedem Busen anzuregen strebt. Was er sich im Einzelnen von irdischem Wissen zueignet, schmilzt, ja man kann sagen verdampft in seiner Methode, in seinem Vortrag.“[2])

Ἐνταῦθα ἤδη πέρας ἐχούσης τῆς πραγματείας ἡμῶν ταύτης ἔδοξεν ἡμῖν καὶ τάδε προσθεῖναι περί τε τῆς οἰκονομίας τοῦ παντός ἔργον καὶ τῆς ἐπὶ πᾶν διηκούσης ἰδέας, ἣ ἀκολουθῶν συνέγραψεν αὐτό Πλάτων.

Καὶ γινώσκομεν μὲν ὁποῖα καὶ ὁπόσα λόγιοι ἄνδρες ἔν τε τῷ ἀνατολικῷ καὶ τῷ δυτικῷ τῆς γῆς ἡμισφαιρίῳ περὶ τοῦ θαυμασίου τούτου ἔργου τῆς λαμπρᾶς ἀρχαιότητος γεγράφασί τε καὶ εἰρήκασιν, ἐπιλαμβανόμεθα ὅμως καὶ ἐπελαβόμεθα τοῦ θέματος τούτου εἰδότες ὅτι οὕτω μόνον δι' ἀντιβολῆς πολλῶν γνωμῶν εὕρηται ἡ ὀρθή, καὶ ὅτι πάνυ τερπνόν ἐστι λέγειν τε καὶ ἀκούειν καὶ ἐπαναλαμβάνειν τὰ καλά, ὡς περὶ τούτου ἀμέσως πειθόμεθα οἱονδήποτε μουσικόν ἔργον διεξιόντες, ἐν ᾧ πολλάκις αἱ καλαὶ μελῳδίαι ἐπαναλαμβανόμεναι ὑπερφυῶς ὡς τέρπουσιν ἡμᾶς.

Τούτων οὖν οὕτως ἐχόντων δοκεῖ ἡμῖν κέρδος εἶναι οὐ σμικρόν, εἴ τι πρὸς τοῖσδε καὶ καινὸν οἱ λόγοι ἡμῶν ἐμπεριλαμβάνουσιν, ὅπερ μέχρι τοῦ νῦν ὑπ' οὐδενὸς εἴρηται,

1) Fortlage, Philos. Medit. u. Plat. Symp. Heidelberg, 1835.
2) Göthe im 53. Band.

ἔστω καὶ μικροῦ λόγου ἄξιον ὄν, μαρτυροῦν τοὐλάχιστον προθυμίαν καὶ μελέτην ἐν τῇ ὁδῷ τῆς ἐπιστήμης.

Καὶ τὰς μὲν σκέψεις ἡμῶν ἐν ἑκάστῳ μέρει τοῦ παντός ἔργον ἐξεθέμεθα κατὰ τὸ δοκοῦν ἡμῖν ὡς οἷόν τε πιστῶς, ἀλλά περὶ τῆς τοῦ σύμπαντος ἰδέας, ἣ ἀκολουθῶν συνέγραψε τό ἀριστοτέχνημα τοῦτο Πλάτων οὐχ ἱκανῶς ἡμῖν εἴρηται· τοῦτο οὖν λείπειται ἡμῖν εἰπεῖν καὶ οὕτω πέρας ἐπιθεῖναι τῷ ἐν τῷ παρόντι λόγῳ. Πλάτων ὁ σοφός ἐζήλωσε τήν δόξαν τοῦ διδασκάλου Σωκράτους καὶ κατὰ τοῦτο ὑπερέβη πάντας τούς συμμαθητάς αὐτῷ, βουλόμενος μή μόνον μιμήσασθαι τὴν ζῶσαν διδασκαλίαν αὐτοῦ διδάσκοντος, ἀλλα καὶ συγγράφων προαγαγεῖν ταύτην διενοήθη φύσει κεκτημένος πρὸς τοῦτο τά διανοητικά ἐφόδια· τῇ σκέψει οὖν καί προθυμίᾳ ταύτῃ δουλεύων ἔδειξεν ἡμῖν ἱκανός εἶναι τοῦτο ποιῆσαι διὰ συγγραφῆς Συμποσίου φιλοσοφικοῦ, ἐν ᾧ δῆλον ὅτι μόνον περὶ Σωκράτους πρόκειται καί περί τοῦ διανοητικοῦ καὶ φυσικοῦ βίου αὐτοῦ.

Ὅτι δέ ἐν τέλει διαλεκτικῶς μέχρι τῆς τοῦ καλοῦ ἰδέας ὑψοῦται, τοῦτο θεωρητέα ὡς φυσική ἀκολουθία τοῦ διαλόγου πρώτου δοκιμίου τῆς φιλοσόφου μανίας καὶ σπουδῆς τοῦ Πλάτωνος ὄντος μή δυναμένου ἄνευ φιλοσοφίας διαλέγεσθαι καὶ ὡς μετάβασις ἐκ τῶν μέχρι τοῦδε βιογραφικῶν ἔργων τοῦ φιλοσόφου εἰς τὰ καθαρῶς φιλοσοφικά ἢ τῆς φιλοσοφίας ἐγγύτερον ἐχόμενα.

Καὶ ὅτι μὲν Πλάτων τὸν φιλόσοφον ζῶντα παραστῆσαι ἠβουλήθη ἢ ὁποῖόν τινα δεῖ τόν φιλόσοφον εἶναι ἢ ὑπὲρ τοῦ Σωκράτους ἀπολογήσασθαι, καὶ εἴ τι ἕτερον μέχρι τοῦδε ἐρρέθη, δοκεῖ ἡμῖν ἀποβλάστημα τῆς αὐτῆς ἀρχικῆς ἰδέας εἶναι, ἣ ἑπόμενος συνέγραψε τό ἀριστοτέχνημα τοῦτο ὁ θεῖος Πλάτων, τουτέστι παραστῆσαι τὸν Σωκράτη οἷός τις ἦν ἔν τε τῷ καθ' ἡμέραν ἰδιωτικῷ τε καὶ δημοσίῳ βίῳ ἔν τε τῷ ἐσωτερικῷ αὐτοῦ δηλονότι τῷ ψυχικῷ, ὃν βεβαίως μόνον μαθητής αὐτοῦ οἷος ὁ Πλάτων ἠδύνατο ἐξιχνιάσαι καὶ ὀρθῶς διαγνῶναι.

Ἔστι τοίνυν καθ' ἡμᾶς βιογραφία ἐντελής δραματικῶς καὶ διηγηματικῶς, διαλογικῶς καὶ ἀφηγηματικῶς σαφηνείας καὶ ζωτικότητος χάριν ὑπό Συμποσίου πέπλον καὶ κατὰ τρόπον τὰ μάλιστα Σωκρατικόν ἐκτεθειμένη καὶ διὰ πολλῶν παρεμβεβλημένων ὑπαινιγμῶν μαρτυροῦσα τὴν μέχρι

τοῦδε ἄγνοιαν τῶν πολλῶν „ὅτι οὐδείς γινώσκει τὸν Σωκράτη“ καὶ τὴν δικαιολογίαν ὡς ἔπος εἰπεῖν καὶ ἀνάγκην τῆς συγγραφῆς τοιαύτης βιογραφίας.

Διὰ τούτων δὲ πάντων ἠθέλησε Πλάτων καὶ ἀπαλλάξαι σύναμα τοὺς φιλοσόφους τῆς κατηγορίας τοῦ ἀφῃρημένου, ἰδανικοῦ καὶ πάσης πραγματικῆς ἀξίας ἐστερημένου βίου αὐτῶν διὰ τῆς συγγραφῆς τοῦ Σωκρατικοῦ βίου κατὰ πάσας τὰς διευθύνσεις καὶ ἐνεργείας αὐτου ἐν τε εἰρήνῃ καὶ ἐν πολέμῳ καὶ οὕτω δι' ὑποδείξεως ὅτι „φύσει τοῦ εἰδέναι ὀρέγεται ἀνθρωπος“ τοὺς πάντας εἰς φιλοσοφίαν παρακελεύσηται.

Ἅπασαι οὖν αἱ μέχρι τοῦδε περὶ τοῦ Πλατωνικοῦ συμποσίου θεωρίαι τῶν λογίων ἀνδρῶν ἀπορρέουσιν ἐκ τῆς αὐτῆς ἀρχικῆς πηγῆς, ἥτις ἐστί καθ' ἡμᾶς αὐτόχρημα φιλοσοφική βιογραφία· βιογραφικὴν οὖν ἰδέαν κατὰ τρόπον πραγματικῆς ἱστορίας καὶ ὅλως σωκρατικὸν ἀποδιδόντες νομίζομεν ὅτι τοῦ ἀληθοῦς σκοποῦ τοῦ Πλάτωνος ἐν τῇ συγγραφῇ τοῦ Συμποσίου ἀπρίξ ἐχόμεθα, σύναμα δὲ καὶ τοῦ σκοποῦ τῆς περὶ τοῦ ἰδανικοῦ καλοῦ θεωρίας τοῦ Πλότωνος ἐπιτυγχάνομεν λέγοντες ὅτι ἀδύνατον ἦν ἀλλως τῷ Πλάτωνι ἀνευ φιλοσοφίας τὸν Σωκράτη παραστῆσαι· φιλοσοφία γάρ καὶ Σωκράτης ταὐτόν ἐστι καὶ οὐ χωρίζονται ἀλλήλων οὐδέ νοοῦνται δίχα ἀλλήλων· ἀπόδειξις δέ τούτου ἡ περὶ καλοῦ ἰδέα, ἥτις γενικωτάτη ἐστίν ἐπὶ πᾶν καὶ πᾶσαν φιλοσοφίαν διήκουσα καὶ ταύτης ἁρμοδιωτέραν βεβαίως οὐκ ἠδύνατο Πλάτων εὑρεῖν, ὅπως ταύτην ἐπὶ τοῦ Σωκράτους ἐφαρμόσηται ζήσαντος καὶ τελευτήσαντος τὸν βίον ἐν ἔρωτι καὶ ἀγάπῃ πρὸς τὴν ἀνθρωπότητα καὶ ἴσως μόνου τοῦ ἐσταυρωμένου ἐν τῇ ἀγάπῃ ὑπολειπομένου, δηλονότι ἐν τοῖς ἀποτελέσμασι τῆς ἀγάπης. Ὅτι δὲ γενικωτάτη καὶ περιληπτικωτάτη ἐστίν ἡ τοῦ καλοῦ ἰδέα μαρτυρεῖ σύμπασα ἡ μετὰ τὸν Πλάτωνα μέχρι ἡμῶν ἱστορία τοῦ ἀνθρωπίνου γένους, ἐν ᾗ τὸ συγκρατοῦν τὰ πάντα στοιχεῖον ἡ χριστιανικὴ ἀγάπη ἀποτελεῖ, οὐδέν ἕτερον οὖσα, εἰμὴ πιστὸν ἀποβλάστημα τοῦ Πλατωνικοῦ ἔρωτος τοῦ καλοῦ, τοὐ ἀγαθοῦ, ὅπερ αἰώνιόν ἐστι.

Ταῦτα ἱκανὰ ἡμῖν δοκεῖ ἐν τῷ παρόντι περὶ ἔρωτος εἰρῆσθαι, καὶ ἴσως μέν οἵν καὶ ἡμεῖς τὸν ἔρωτα ἐπαινοῦντες πολλὰ παραλείπομεν, οὐ μέντοι ἑκόντες γε.

Ἤδη μεταβαίνομεν εἰς τό τρίτον μέρος τῆς πραγματείας ἡμῶν, δηλαδή εἰς τό παιδαγωγικόν, ἵνα ἐπ' ὀλίγον καὶ αὐτόθι ἐνδιατρίψαντες πέρας ἐπιθῶμεν τῷ λόγῳ ἡμῶν.

ΜΕΡΟΣ ΤΡΙΤΟΝ.

„Πρῶτον οἶμαι τῶν ἐν ἀνθρώποις ἐστί παίδευσις· ὅταν γάρ τις πράγματος κἄνδτουοῦν τήν ἀρχήν ὀρθῶς ποιήσηται, εἰκός καὶ τήν τελευτὴν ὀρθῶς γίγνεσθαι. καὶ γάρ τῇ γῇ οἷον ἄν τις τό σπέρμα ἐναρόσῃ τοιαῦτα καὶ τὰ ἔκφορα δεῖ προσδοκᾶν, καὶ ἐν νέῳ σώματι ὅταν τις τὴν παίδευσιν γενναίαν ἐναρόσῃ, ζῇ τοῦτο καὶ θάλλει διὰ παντός τοῦ βίου καὶ αὐτό οὔτε ὄμβρος οὔτε ἀνομβρία ἀφαιρεῖται.“ Stob. flor. apped. flor. 16, 36 (4 p. 37 Gaisf.)

Οἱ δύο κολοσσοὶ τῆς φιλοσόφου ἑλληνικῆς ἀρχαιότητος, ὁ Ὅμηρος τῶν φιλοσόφων Πλάτων καὶ ὁ θεῖος Σταγειρίτης Ἀριστοτέλης, οὐ μόνον τὴν Ἑλλάδα πάλαι ἐδόξασαν, ἀλλά καὶ σύμπαντα τόν νεώτερον κόσμον ἔν τε τῇ Ἀνατολῇ καὶ τῇ Δύσει, ἔν τε τῷ ἀνατολικῷ καὶ τῷ δυτικῷ τῆς γῆς ἡμισφαιρίῳ ἐδίδαξαν καὶ διὰ τῶν ἀθανάτων παιδαγωγικῶν ἀρχῶν αὐτῶν, ἐφ' ὧν τὰ θεμέλια τῆς νεωτέρας καὶ συγχρόνου παιδαγωγικῆς ἐπιστήμης πάντων τῶν ἐθνῶν τῆς οἰκουμένης ἵδρυνται, ἀείποτε εὐεργέται τῆς ἀνθρωπότητος ἔσονται, ἕως ἄν γῆ τε καὶ ἥλιος ᾖ. Καὶ ἑκατέρου μέν τούτων ἐν ἐπί τούτῳ ὡρισμένῳ συγγράμματι αἱ Παιδαγωγικαὶ ἀρχαὶ εὕρηνται, ἐν παντί ὅμως ἔργῳ αὐτῶν ἔστιν ἰδεῖν τὸν παιδαγωγόν τῶν λαῶν τοῦ κόσμου, πανταχοῦ καὶ πάντοτε ἀφορμῆς δεδομένης περί διαπαιδαγωγήσεως τῆς κοινωνίας τούς λόγους ἡδέως ποιούμενον· ὅθεν δύναταί τις ἰσχυρίσασθαι ὅτι μία καὶ ἡ αὐτή παιδαγωγική ἀρχή διὰ πάντων τῶν συγγραμμάτων αὐτῶν διήκει, ἡ ἀρχή τῆς βελτιώσεως τῆς κοινωνίας.

Ἐπί παραδείγματι ἐφαρμόζοντες τὰ μέχρι τοῦδε εἰρημένα πρὸς τὰ τοῦ ἡμετέρου Συμποσίου βλέπομεν μίαν ἀπόλυτον ἠθικὴν ἰδέαν διὰ παντός τοῦ συγγράμματος διή-

κουσαν ἀναλόγως καὶ ἁρμονικῶς κατὰ δύναμιν καὶ προσῆκον ὑφ' ἑκάστου τῶν συνδαιτυμόνων πραγματευομένην καὶ δή ἐν Συμποσίῳ, ἔνθα ἥκιστα, εἴποι ἄν τις, τόπος ἐστὶ πρὸς τοῦτο.

„Indem aber der *Ἔρως* auf seiner ersten Stufe das innigste persönliche Verhältnis zweier verwandten Naturen begründet, schafft er die unentbehrliche Grundlage der philosophischen Ausbildung mit den Gedankenaustausch begeisterter Freunde, in welchem jeder dem anderen klarer, bestimmter, fassbarer zurück giebt, was er an Anregungen und Gedanken von ihm erhalten hat. Damit ist der natürliche Boden lebensvoller Dialektik, der philosophischen Methode gegeben. Es gehört zu den schönsten Anschauungen Platos, dass er die geistige Entwickelung nicht an ein einsames Grübeln, die Philosophie nicht an die Annahme einer Reihe von Lehrsätzen, sondern an den geistigen Verkehr zwischen Lehrer und Schüler, Freund und Freund knüpft, durch welchen sittlich und intellektuell ein Charakter und Geist heranreift, der das Wahre zu erkennen, die erkannte Wahrheit zum Gehalt seines Wollens zu machen im Stande ist. Wohl bei keinem Philosophen ist mit solcher Energie dem Gedanken Ausdruck gegeben, dass die Philosophie zu einem gesunden Streben nur werden könne in dem befruchtenden Verkehr von Person zu Person, und dass nur in der dadurch bedingten steten Entwickelung des geistigen Gehaltes aus sich und anderen jeder vorzeitige dogmatische Abschluss verhindert werde.“[1])

Πάντα οὖν χῶρον καὶ πάντα χρόνον, ἐν ᾧ δύο ἢ τρεῖς παρόντες εἰσίν ἐπί τούτῳ ὁρίζει Πλάτων, ἵνα ἠθικόν τινα διάλογον ἀποτελέσῃ, ὅπως ἕκαστος καλόν τι καὶ διδακτικόν εἰς τήν ἑαυτοῦ οἰκίαν κομίσῃ· τοῦτ' αὐτό συμβαίνει καὶ ἐν τῷ προκειμένῳ συμποσίῳ ἱδρυμένῳ ἐπὶ τῆς παιδαγωγικῆς ἀρχῆς, ἐκ τῶν ἁπλῶν πρὸς τὰ σύνθετα βαίνειν, ἐκ τῶν εὐχερῶν πρὸς τὰ δυσχερῆ, ἐκ τῶν ὑλικῶν πρὸς τὰ ἠθικά, ἐκ τῶν ὁρατῶν πρὸς τὰ νοητὰ ἀναλυτικῶς καὶ συνθετικῶς καὶ τἀνάπαλιν συνθετικῶς καὶ ἀναλυτικῶς ἐπαγωγῇ καὶ ἀποδείξει χρωμένους.“

1) Adolf Ostendorf, Schleswig-Progr. 1874.

„Ἀπὸ ἑνὸς ἐπὶ δύο καὶ ἀπὸ δυοῖν ἐπὶ πάντα τὰ καλὰ σώματα, καὶ ἀπὸ τῶν καλῶν σωμάτων ἐπί τὰ καλὰ ἐπιτηδεύματα, καὶ ἀπὸ τῶν ἐπιτηδευμάτων ἐπὶ τὰ καλὰ μαθήματα, ὡς ἀπό τῶν μαθημάτων ἐπ' ἐκεῖνο τό μάθημα τελευτήσῃ ὅ ἐστιν οὐκ ἄλλου ἢ αὐτοῦ ἐκείνου τοῦ καλοῦ μάθημα, καὶ γνῷ αὐτό τελευτῶν ὅ ἔστι καλόν“ 211 C.

Τοῦτό ἐστιν ἀξίωμα παιδαγωγικόν μέγιστον τοῦ αἰῶνος, ἐν ᾧ ζῶμεν, ἐκ τοῦ Πλάτωνος παραληφθέν καὶ ἐπὶ τῆς ἀρχῆς ταύτης πᾶσα διδασκαλία πανταχοῦ τοῦ πεπολιτισμένου κόσμου ἵδρυται. Περί τῶν καθέκαστα σποράδην ἐν τῷ συγγράμματι τούτῳ τοῦ Πλάτωνος εὑρισκομένων παιδαγωγικῶν ἀρχῶν καὶ ὑποθηκῶν ἐν τοῖς ἑξῆς δοκεῖ ἡμῖν λόγον ποιήσασθαι.

„Δοκῶ μοι περὶ ὧν πυνθάνεσθε οὐκ ἀμελέτητος εἶναι“ 172 A *καὶ* 173 C.

Διὰ τούτων διδάσκει ἡμᾶς ὁ Πλάτων ὅτι μετὰ προηγουμένην μελέτην καὶ προπαρασκευήν πάντοτε ἔργου ἅπτεσθαι καὶ ἐπιχειρειν δεῖ· ἔστι δὲ τοῦτο ταὐτὸν τῷ „λέγε εἰδώς“ τῶν ἀρχαίων· ὅτι οὐδέποτε οὐδαμῶς δεῖ τὸν διδάσκαλον ἀμελετήτως πρός τούς μαθητὰς παριέναι ἐκ τῶν ἀνωτέρω δῆλον.

„Ἀλλά οὐδὲν εἶχε σαφές λέγειν“ 172 B *παράβαλε καὶ Πολιτ.* I, 336 D: *σαφῶς μοι καὶ ἀκριβῶς λέγε καὶ Ξενοφ. Κυρ. Παιδ.* 2, 1, 5: *σαφῶς λέγε“.*

Καὶ τοῦτο ἕν τῶν μεγίστων παιδαγωγικῶν παραγγελμάτων τυγχάνει ὄν, ἡ σαφήνεια ἐν τῷ λέγειν· „σοφὸν τὸ σαφές, οὐ τό μή σαφές“.

„Ἐπιμελές πεποίημαι ἑκάστης ἡμέρας εἰδέναι ὅ,τι ἂν λέγῃ ἢ πράττῃ“ 172 C. *οὐδὲν ἕτερον δηλοῖ εἰ μή ὅτι ἐπιμελῶς δεῖ ἔχεσθαι ἑκάστου ἔργου ἑκάστης ἡμέρας καὶ οὕτω ἄνευ χασμάτων ἐν τῇ διδασκαλίᾳ ἐπὶ τά πρόσω βαίνειν.*

„Πάντως δὲ ἡ ὁδός ἣ εἰς ἄστυ ἐπιτηδεία πορευομένοις καὶ λέγειν καὶ ἀκούειν . . . . . εἰ οὖν δεῖ καὶ ὑμῖν διηγήσασθαι, ταῦτα χρή ποιεῖν“ 173 B–C.

Πανταχοῦ τόπος πρὸς διδασκαλίαν ἐστί, καὶ ἐν περιπάτοις καὶ ἐν ὁδοῖς, καὶ ἐν ἀγορᾷ, καὶ ἐν ἐργαστηρίοις τῷ βουλομένῳ καλῷ κἀγαθῷ εἶναι καὶ τοῖς ἄλλοις ταῦτα παρασχεῖν, ἀλλὰ „καὶ λέγειν καὶ ἀκούειν „χρυσοῦν παράγγελμά ἐστιν, ἀλλὰ δυστυχῶς πλεῖστοι τῶν διδασκάλων

λεληθότως παραβαίνουσι τοῦτο καί ποτε ἐνθουσιῶντες ἐν τῷ διδάσκειν λέγουσι μόνον συνεχῶς καὶ οὐκ ἀκούουσι καὶ τῶν μαθητῶν λεγόντων, ὅπερ κάκιστον.

„Ταῦτα χρὴ ποιεῖν", δηλονότι καὶ τοῖς ἄλλοις διηγήσασθαι, καὶ τοῦτο μεγίστη ἐστὶν ὑπηρεσία καὶ ἀρετή, ἵνα γάρ καὶ κατὰ Εὐαγγέλιον εἴπω „ὅς δ' ἂν ποιήσῃ καὶ διδάξῃ, οὗτος μέγας κληθήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν".

„Ἀνεῳγμένην καταλαμβάνειν τὴν θύραν" 174 E.

Πάντοτε ἡ θύρα ἀνεῳγμένη ἐστὶ τῷ βουλομένῳ διδαχθῆναί τι καὶ ὠφελίαν καρπώσασθαι, ὡς καὶ ἐν Εὐαγγελίῳ γέγραπται „τῷ κρούοντι ἀνοιγήσεται".

„Δῆλον γάρ ὅτι εὗρες αὐτὸ καὶ ἔχεις· οὐ γάρ ἂν προαπέστης" 175 D.

Οὐδέποτε οὐδαμῶς δεῖ τὸν ἐγχειροῦντα ἔργῳ τινὶ προαφίστασθαι, ἀλλὰ τοῦ τέλους ἐχόμενον ἔν τε τῇ διδασκαλίᾳ καὶ ἐν παντί.

„Καὶ ἅσαντας τὸν θεὸν" 176 A, καὶ 194 D.

Τοῦτο τελεῖται καὶ νῦν πρὸ παντὸς ἔργου ἔν τε τοῖς διδασκαλείοις καὶ πρό πάσης ἄλλης ἐργασίας. Ταὐτόν δ' ἐστὶ τῷ „ἀπό Διός ἢ ἀπό θεοῦ ἄρχεσθαι".

„Ἱκανός γὰρ ἀμφότερα" 176 C.

Τὸν ἄνδρα χρὴ τέλειον εἶναι, μὴ μόνον σχολαστικόν, ἀλλὰ καὶ κοινωνικόν δηλοῖ, ὡς τὸν Σωκράτη.

„Ἡμᾶς δὲ διὰ λόγων ἀλλήλοις συνεῖναι" 176 E.

Τὸ γάρ εὐγενέστερον, τιμιώτερον καὶ θειότερον ἐν ἀνθρώπῳ ὁ λόγος ἐστίν, πᾶσα δ' ἄλλη συνουσία κατακριτέα, ἄτε τοῖς βαναύσοις ἰδία καὶ ἄτε τοῦ λόγου μόνου ἱκανοῦ ὄντος τὸν ἄνθρωπον διδάξαι, διαπαιδαγωγῆσαι καὶ τέλειον καταστῆσαι συνῳδά τῷ ἐπὶ τῆς γῆς προορισμῷ αὐτοῦ.

„Das erste Erziehungsmittel ist die Musik, d. h. die Rede. *Λόγων δὲ διττόν εἶδος, τὸ μὲν ἀληθές, ψεῦδος δ' ἕτερον; Ναί. Παιδευτέον δ' ἐν ἀμφοτέροις, πρότερον δ' ἐν τοῖς ψευδέσιν; οὐ μανθάνω, ἔφη, πῶς λέγεις. Οὐ μανθάνεις; ἦν δ' ἐγώ, ὅτι πρῶτον τοῖς παιδίοις μύθους λέγομεν; τοῦτο δέ που ὡς τὸ ὅλον εἰπεῖν ψεῦδος, ἔνι δὲ καὶ ἀληθῆ.* Die Hauptmythen aber (Rep. II, 377 D) seien die über Götter und Heroen, *μῦθοι ψευδεῖς*, die vor Allem dann zu tadeln seien, *ἐάν τις μή καλῶς ψεύδηται.* Rep. II, 376 E.

„Πρῶτον δή ἡμῖν, ὡς ἔοικεν, ἐπιστατητέον τοῖς μυθοποιοῖς, καὶ ὃν μὲν ἂν καλὸν ποιήσωσιν, ἐγκριτέον, ὃν δ' ἂν μή, ἀποκριτέον". Rep. II, 377 D.

„Ἃ δὲ μάλισια καὶ ὧν ἔδοξέ μοι ἀξιομνημόνευτον, τούτων ὑμῖν ἐρῶ ἑκάστου τὸν λόγον" 178 A.

Ἄλλαις λέξεσι παιδαγωγικῶς λεγόμενόν ἐστι· „τὰ σπουδαῖα μελέτα" μὴ πάντα, οὐ γάρ πάντα καλά, ἀλλὰ τὰ ἀξιομνημόνευτα ἀκούειν, συνιέναι καὶ ταῦτα μόνα διδάσκειν χρή· πρβλ. καὶ 180 C.

„Τοῖς γὰρ βαρβάροις διὰ τὰς τυραννίδας αἰσχρόν ἥ γε φιλοσοφία καὶ ἡ φιλογυμναστία· οὐ γάρ οἶμαι συμφέρει τοῖς ἄρχουσι φρονήματα μεγάλα ἐγγίγνεσθαι τῶν ἀρχομένων" 182 C.

Ἡ διδασκαλία εὐδοκιμεῖ καὶ καρπὸν πολὺν φέρει μόνον ἐν ἐλευθερίᾳ· ὅθεν ἐλευθέραν καὶ ἀνεπηρέαστον διδασκαλίαν ἀπαιτεῖ Πλάτων μισῶν τὴν τυραννίδα καὶ βαρβαρότητα, τὴν κτείνουσαν τὴν ψυχὴν τῶν ἀνθρώπων χάριν φαύλης ἰδιοτελείας ἵνα γὰρ καὶ κατ' Εὐαγγέλιον εἴπω „πᾶς ὁ φαῦλα πράττων μισεῖ τὸ φῶς καὶ οὐκ ἔρχεται πρὸς τὸ φῶς, ἵνα μὴ ἐξελεγχθῶσι τὰ ἔργα αὐτοῦ".

„Ἐγὼ οὖν πειράσομαι ὑμῖν εἰσηγήσασθαι τὴν δύναμιν αὐτοῦ, ὑμεῖς δὲ τῶν ἄλλων διδάσκαλοι ἔσεσθε". 189 D.

Ἡ διάδοσις τῆς διδασκαλίας εἰς ἁπάσας τὰς τάξεις τῆς κοινωνίας προπαρασκευάζει τὴν εὐημερίαν καὶ εὐδαιμονίαν τῶν ἐθνῶν καὶ τοῦτο δηλοῖ καὶ τὸ τοῦ Εὐαγγελίου „ἕως ἂν διδαχθῶσι πολλοὶ καὶ πληθυνθῇ ἡ γνῶσις".

„Πάντ' ἄνδρα χρὴ ἅπαντι παρακελεύεσθαι εὐσεβεῖν περὶ θεούς" 193 A καὶ 176 A καὶ 194 D: Ἀποδούς οὖν ἑκάτερος τῷ θεῷ οὕτως ἤδη διαλεγέσθω".

„So stellt Platon mit Nachdruck als erste Aufgabe der Erziehung die Erweckung und Pflege eines reinen und religiösen Sinnes hin. Er macht dabei einen bewunderungswürdigen Versuch, die religiösen Ueberlieferungen seines Volkes von Schlacken und sinnlichem Beiwerk zu reinigen, um dann an ihnen das religiöse Gefühl des Kindes in einfacher Weise zu entwickeln. Dass hierbei die Mythen nicht gänzlich wie der Form, so auch der Substanz nach von der Jugendbildung ausgeschlossen werden, das verdanken sie einerseits ihrer Brauchbarkeit für die ersten Zwecke der

Erziehung und andererseits der Ehrfurcht unseres Philosophen für alles dasjenige, was als ächtes Produkt des griechischen Volksgeistes erwachsen und auf seine Zeit gekommen ist.“[1])

„Ἃ γάρ τις ἢ μή ἔχει ἢ μή οἶδεν, οὔτ' ἄν ἑτέρῳ δοίη οὔτ' ἄν ἄλλον διδάξειεν“ 197 A.

Μεγίστη παιδαγωγική ὑποθήκη, ὑψίστη ἀλήθεια, μέγιστον παιδαγωγικόν ἀξίωμα ἐπικρατοῦν ἐν ἅπαντι τῷ πεπολιτισμένῳ κόσμῳ καὶ ἰσχῦον ὡς κανών ἀπαράβατος ἐν πᾶσι τοῖς διδασκαλείοις καὶ παιδευτηρίοις ἔτι καὶ νῦν.

„Παρὰ σὲ ἥκω, γνοὺς ὅτι διδασκάλων δέομαι“ 207 C *καὶ* 206 B.

Τοῦτο λίαν δυσχερές τυγχάνει ἀμφοτέροις, δηλαδή τῷ τε διδάσκοντι καὶ διδασκομένῳ· ὁ μὲν γὰρ παῖς μή δυνάμενος ὡς ἐκ τῆς ἡλικίας αὐτοῦ γνῶναι ὅτι διδασκάλων καὶ διδασκαλίας δεῖται περὶ πᾶν ἕτερον ἀσχολεῖται ἢ περὶ παιδείαν μεταβάλλων μάλιστα τὸ διδασκαλεῖον εὐκαιρίας δεδομένης εἰς φρενοκομεῖον καὶ καπηλεῖον· ὅθεν καὶ ἡ χριστιανική παροιμία „ὅπου παῖδες οὐ χρεία δαιμόνων“· ὁ δέ διδάσκων οὐ δύναται ὁμοίως εὐχερῶς γνῶναι τίνων ὁ παῖς δεῖται καὶ τὶ διδακτέον ἐκ τοῦ πελάγους τῆς παιδείας· διό πολλοὶ πολλάκις πολλαχῶς ἀεροβατοῦσι, ζήτημα δὲ τυγχάνει μέγα κοινωνικόν καὶ πολιτικόν, ἐὰν ἡ διδασκαλία ἐν γένει μέχρι τοῦδε βλάβην μᾶλλον ἢ ὠφελίαν τῇ ἀνθρωπότητι προὐξένησεν. Δυσχερέστατον ὅμως πάντων καὶ ἀρχή ἤτοι ἥμισυ σοφίας τὸν ἄνδρα γνῶναι ὅτι διδασκάλων δεῖται καὶ γνόντα ἧκειν μαθησόμενον πρὸς διδάσκαλον, ἄλλαις λέξεσι „γνῶθι σαυτόν“, ὅπερ ὅμως πάνυ ὀλίγοι πράττουσι, ἅτε τῶν πολλῶν ὑπὸ φιλαυτίας ἐλαυνομένων καὶ τὰ πάντα εἰδέναι οἰομένων καὶ διδασκάλων μή δεομένων καὶ ἑπομένως μή δυναμένων τό τοῦ Σόλωνος λέγειν·

„γηράσκω ἀεὶ πολλὰ διδασκόμενος“.

„Λήθη γάρ ἐπιστήμης ἔξοδος, μελέτη δέ πάλιν καινήν ἐμποιοῦσα ἀντί τῆς ἀπιούσης μνήμῃ σῴζει τήν ἐπιστήμην“. 208 A. *Πρβλ. καὶ „αἱ δὲ μελέται τὴν μνήμην σώζουσι τῷ ἐπαναμιμνήσκειν“. Ἀριστοτ. περὶ Μνήμης κεφ.* 1.

Ὅτι ἡ ἐπανάληψις μήτηρ τῆς ἐπιστήμης ἐστὶ δῆλον καὶ τούτου ἐφαρμογή τοῦ κανόνος ἐν ἅπασι τοῖς ἐκπαιδευτηρίοις ἔτι καὶ νῦν γίνεται.

1) K. Benrath, das pädag. System Platons, Jena 1874.

„Καὶ οἷον χρή εἶναι τὸν ἄνδρα τὸν ἀγαθὸν καὶ ἃ ἐπιτηδεύειν καὶ ἐπιχειρεῖ παιδεύειν“. 209 D.

Πρῶτον οἷον χρή εἶναι τὸν ἄνδρα τὸν ἀγαθόν. Μέγα καὶ τοῦτο ζήτημα παιδαγωγικόν ἔτι καὶ νῦν, καὶ ἃ ἐπιτηδεύειν, ἐπίσης δυσχερές ὁρίσαι· καὶ κατ' ἀρχὴν μὲν πάντες οἱ παιδαγωγοί περί τούτων σύμφωνοι κατὰ τό μᾶλλον καὶ ἧττόν εἰσιν, ἀλλὰ τὸ δυσχερέστερον ἔγκειται ἐν τοῖς ἑφεξῆς· „καὶ ἐπιχειρεῖ παιδεύειν“, ἐνταῦθά ἐστι τὸ κωλῦον, πῶς; τίνι μεθόδῳ χρωμένους δεῖ ἐπιχειρεῖν παιδεύειν;

„Ἄρχεσθαι μὲν νέον ὄντα“. 210 A.

Ὁποία ἀλήθεια, καὶ ὁπόση τῷ ὄντι φροντίς καταβάλλεται πρὸς ἐφαρμογήν τῆς σωτηρίου ταύτης παιδαγωγικῆς ὑποθήκης· „εὐθὺς ἐκ νέου“, „εὐθὺς νέου ὄντος“, λέγει καὶ ἀλλοθι ὁ θεῖος Πλάτων, δεῖ τοὺς γονέας περὶ παιδεύσεως τῶν τέκνων ἐπιμέλειαν ποιεῖσθαι.

„Πειρῶ δέ μοι, ἔφη, τὸν νοῦν προσέχειν ὡς οἷόν τε μάλιστα“. 210 D *καί* 217 B.

Καὶ σήμερον κάλλιστα τό οὐσιωδέστατον μέρος τῆς παιδαγωγικῆς κατέχει ἡ „Προσοχή“· ἄνευ γάρ ταύτης οὔτε φυσική εὐφυΐα, οὔτε πολύωρος ἐργασία εὐδοκιμεῖ, τοὐναντίον μάλιστα εἰς ἐπιπολαιότητα προπαρασκενάζει, ὡς ἔστιν ἰδεῖν, ὅπου παῖδές εἰσιν.

„Πέπεισμαι δ' ἐγώ· πεπεισμένος δέ πειρῶμαι καὶ τοὺς ἄλλους πείθειν“. 212 B *πρβλ. καὶ* 197 A: *ἃ γάρ τις ἢ μή ἔχει ἢ μὴ οἶδεν, οὔτ' ἄν ἑτέρῳ δοίη οὔτ' ἄν ἄλλον διδαξειεν“.*

Ἐνταῦθα σημαίνει ὅτι τὴν ἀλήθειαν καὶ μόνην ταύτην διδακτέον ἀμιγῆ πάσης ἀμφιβολίας καὶ ἀνακριβείας αὐτὸν τὸν διδάσκαλον περὶ ταύτης, δηλονότι περὶ τῆς διδακτέας ὕλης ἱκανῶς πεπεισμένον ὄντα· ὁ δέ Πλάτων κατὰ τό παράδειγμα τοῦ Σωκράτους ἔπραττε τοῦτο, θεῶν ὑπηρεσίαν ἡγούμενος τὴν τῶν νέων ἐπιμέλειαν καὶ ἀγωγήν, προῖκα, ἀμισθὶ, δωρεὰν „ἀλλά προσέχετε τὸν νοῦν“ 217 B *τοῦτο μόνον ἀπαιτῶν· γνωστὸν γὰρ ὅτι „Πλάτων ἀτελεῖς φόρων τοὺς παρ' αὐτὸν φοιτῶντας ἐποίει“. Λαέρτ. Διογ.* 4, 2. — *„Τό γάρ μή ἐπὶ μισθῷ διδάσκειν, ἠθικόν ὄν, πρῶτος Πλάτων εὗρεν“. Ἀνώνυμ. Βιογρ. Πλάτ.*

Πολλὰ μὲν οὖν καὶ ἄλλα ἔχοι ἄν τις Σωκράτη ἐπαινέσαι καὶ θαυμάσαι, τί δ' ἄν τις εἴποι καὶ περὶ τῆς Σωκρα-

κρατικῆς μεθόδου, τῆς μαιευτικῆς, ἧς θαυμάσια τὰ καλὰ ἀποτελέσματα ἐν τῇ διδασκαλίᾳ ἑκάστης ἡμέρας βλέπομεν; Διδάσκαλος γέγονε τῆς πάσης ἀνθρωπότητος ὁ Σωκράτης „νικῶν ἐν λόγοις πάντας ἀνθρώπους“ καὶ ὁ τῇ μεθόδῳ αὐτοῦ χρώμενος Πλάτων, οἷς χάριτας μεγίστας ὁμολογεῖ πᾶσα ἀνθρωπίνη ἐπὶ γῆς κοινωνία δικαίως.

Καὶ τάδε δοκεῖ ἡμῖν προσθεῖναι τῷ λόγῳ ἡμῶν.

„Sofern nun hierin einerseits die Voraussetzung liegt, dass das Wissen, welches dem Philosophen fehlt, bei den Anderen zu finden sei, so erscheint dieses Thun als der Trieb, sich durch sie zu ergänzen; und da nun Theorie und Praxis hier zusammenfallen, und die Philosophie von dem persönlichen Leben des Philosophen nicht zu trennen ist, so ist dieser Verkehr mit Anderen für ihn nicht bloss ein wissenschaftliches, sondern zugleich ein sittliches und persönliches Bedürfnis; das gemeinsame Philosophiren ist zugleich Gemeinschaft des Lebens, der Wissenstrieb zugleich der Trieb nach Freundschaft, und gerade in dieser Verschmelzung beider Seiten liegt das Eigenthümliche des Sokratischen Ἔρως. Ausserdem erinnert Brandis II, a, 64 f. mit Recht daran, dass neben Plato und Ξενοφῶν auch von Euklid, Krito, Simmias, Antisthenes Schriften über den Ἔρως erwähnt werden, welche die Bedeutung desselben für die Sokratische Schule beweisen. Auch Aeschines und Cebes hatten in Sokratischem Sinne von der Liebe gehandelt.“ [1])

Ὁ Σωκράτης κατανικῶν τὴν ἀτομικὴν φιλαυτίαν ἐμφανίζεται ὡς ζῶσα ἀγάπη πρὸς τὴν ἀνθρωπότητα ἐνεργῶν λογικῶς τοὐτέστιν ἠθικῶς τε καὶ ἐλευθερίως καὶ εὐσταθῶς διὰ τοῦ παραδειγματος αὐτοῦ, ὅπερ ἐκ τοῦ προσώπου αὐτοῦ ὡς παιδαγωγοῦ, δηλονότι ἐκ τοῦ πραγματικοῦ χαρακτῆρος ἐξήρτητο καὶ οὐχὶ ἐκ τοῦ προσωπείου ὑποκριτικῶς καὶ τούτου ἕνεκα κατέστησεν αὐτὸν ἱκανὸν ἐν ταῖς ὥραις τοῦ πειρασμοῦ εἰς ἀντίστασιν καὶ πλήρωσιν ὑψίστων καθηκόντων διὰ τελειοτάτης φιλανθρωπίας· ὅθεν λέγει καὶ Ἀλκιβιάδης „ἐπειδάν δὲ σοῦ τις ἀκοίῃ . . . . . ἐκπεπληγμένοι ἐσμέν καὶ κατεχόμεθα“.

Ἡ γὰρ διδασκαλία καὶ τὸ παράδειγμα τοῦ Σωκράτους

1) Zeller, II, a. 2, Aufl. p. 87—88.

ἐν ἁρμονίᾳ καὶ συμφωνίᾳ διετέλουν· ἔνθα οὖν ἀγωγὴ ἄνευ ἁρμονίας τῆς διδασκαλίας καὶ τοῦ παραδείγματος εὕρηται, ἐκεῖ κακοδαιμονία μεγίστη ἐστίν.

Τούτων οὕτως ἐχόντων τό παράδειγμα τοῦ παιδαγωγοῦντος ἀφανέστατον μέν, σπουδαιότατον δὲ τῶν παιδαγωγικῶν μέσων τυγχάνει.

Διὰ μιμήσεως τοῦ σωκρατικοῦ παραδείγματος πρὸς τούτοις ἐπιτυγχάνομεν οὐχί ἀκαδημαϊκῶς διδάσκοντες, ἀλλὰ διά λόγων συνόντες τοῖς μαθηταῖς, προσοχὴν καὶ ἐνδιαφέρον διεγεῖραι· ἡ γάρ διδασκαλία καὶ τό παράδειγμα, ἡ θεωρία καὶ ἡ πρᾶξις, ἅτινα πολλαχῶς διίστανται ἀλλήλων ἐν τῇ διδασκαλίᾳ, συνδέονται ἀλλήλοις στενότατα ἐν ὁμιλίαις καὶ διαλογικαῖς συνουσίαις καὶ τούτου ἕνεκα τελειοτάτη ἐμφάνισις ἐν τῇ ἱστορίᾳ τῆς διδακτικῆς τέχνης ἐστίν ἡ Σωκρατική μέθοδος, ἐλευθέρᾳ μορφῇ ὁμιλίας χρωμένη. Γνωστόν δὲ τυγχάνει ὅτι ὁ τήν ἀρετήν ἐπιστήμην εἶναι εἰπών Σωκράτης οὐκ ἐδίδαξεν ἀπὸ καθέδρας, ἀλλὰ διὰ τοῦ παραδείγματος αὐτοῦ ἔδειξεν ἡμῖν τί διδακτέον, πῶς διδακτέον, ποῦ διδακτέον καὶ ὑπὸ τίνος διδακτέον.

Κατὰ ταῦτα ἡ διδασκαλία ἔστω ἐξέγερσις, διέγερσις, ἀνάπτυξις καὶ κίνησις τῶν διανοητικῶν δυνάμεων τοῦ μαθητοῦ, ἵνα οὗτος δι' αὐτενεργείας εὕρῃ, ὅπερ ἡμεῖς διδάξαι ζητοῦμεν, καὶ οὐχί δογματικῶς παρ' ἡμῶν ἀποδέξασθαι πάντα· τοῦτο γάρ κτείνει τὸν νοῦν καὶ οὐδεμίαν ἀφορμήν αὐτενεργείας δίδωσιν. Ἡ γενετική αὕτη μέθοδος διὰ διαλογικῆς μορφῆς παρουσιαζομένη καλεῖται ἔτι καὶ νῦν σωκρατική, τέχνη οὖσα τοῦ καθοδηγεῖν τὸν μαθητήν ἐν μορφῇ διαλόγου διὰ σκοπίμων ἐρωτήσεων οὕτως, ὥστε αὐτὸν εὑρίσκειν, ὅπερ ἡμεῖς μεταδιδόναι ἐζητοῦμεν. Ἀπορριπτέα οὖν ἡ συνεχής διδασκαλία, τοὐτέστιν ὁ συνεχής ἀκαδημαϊκός λόγος, ὅστις καταπονεῖ ταχέως καὶ καρπόν οὐ πολύν φέρει· διό καὶ ὑπὸ τῶν ἀρχαίων φιλοσόφων παρηγκωνίσθη διαλογικῶς διδαξάντων καὶ ἐν διηνεκεῖ λόγων συνουσίᾳ μετά τῶν μαθητῶν αὐτῶν διατελεσάντων, ἵνα πεπεισμένοι ὦσιν ἀείποτε, εἰ ὁ μαθητής παρακολουθεῖν τῇ διδασκαλίᾳ δύναται καὶ τι καὶ ἐπανορθοῦν τὰ ἡμαρτημένα τοῖς μαθηταῖς καὶ τὰ ἐλλείποντα ἀναπληροῦν καὶ ἐρωτήσεις ἐπί τούτων ἤτοι, ὅπερ ταὐτόν ἐστιν ἀγρυπνίαν καὶ προσοχήν προκαλεῖν, ὡς ὁ Σωκράτης ἐνθους ὑπερ τοῦ διδάσκειν καὶ

ὑπό ἀκραιφνοῦς ἀγάπης πρὸς τούς νέους ἐλαυνόμενος ἔπραττεν. Ὁ γάρ τούτων στερούμενος οὔποτε γενήσεται ἀληθὴς διδάσκαλος. Ἡ δὲ σωκρατική φαιδρότης, εὐθυμία καὶ ἱλαρότης ἀπαραιτήτως ἀναγκαῖα συστατικά εἰσιν τοῦ ἀληθοῦς διδασκάλου, ὧν ἄνευ ἀδύνατον εὐδοκιμῆσαι καὶ ἡδονήν ἐν τῷ μοχθηρῷ τούτῳ ἐπιτηδεύματι εὑρεῖν ἐστι.

Πλάτων οὖν ὁ δαιμόνιος ἐν τῷ Συμποσίῳ δείκνυσιν ἡμῖν πῶς δεῖ τὸν παιδαγωγόν ἄρχεσθαι παιδαγωγεῖν καὶ προάγειν τοὺς νέους εἰς τὴν σπουδήν τῆς τε φιλοσοφίας καὶ πάσης ἐν ἀνθρώποις ἀρετῆς καὶ καλοκἀγαθίας διά τῆς μιμήσεως τοῦ Σωκρατικοῦ βίου, ὅς παράδειγμα ἡμῖν πρόκειται ἐν πᾶσι. Διὰ ταῦτα καὶ τό πλατωνικόν συμπόσιον καθ' ἡμᾶς δύναται τὴν πρώτην τάξιν κατέχειν μεταξύ τῶν παιδαγωγικῶν συγγραμμάτων τῆς ἐνδόξου καὶ λαμπρᾶς ἑλληνικῆς ἀρχαιότητος. Τίς γάρ οὐκ ἄν θαυμάσειε τό τε πλῆθος καὶ τὴν μεγίστην σημασίαν τῶν ἐν αὐτῷ παιδαγωγικῶν ὑποθηκῶν τε καὶ ἀρχῶν;

Πᾶσι γάρ γνωστὸν τυγχάνει ὅτι Πλάτων ἐπὶ τοῖς τοῦ διδασκάλου αὐτοῦ Σωκράτους ἴχνεσι βαίνων οὐκ ἠβουλήθη διδάξαι τοὺς ἀνθρώπους αὐτά τὰ ὄντα καὶ τὴν τούτων φιλοσοφίαν ὥς ἐστι, ἀλλά διαλεκτικῶς λυσιτελέστερον ἐπὶ τὴν εὕρεσιν τῆς ἀληθείας ἡγήσατο χρῆναι ἐπανιέναι πρὸς μόνιμον καὶ ἀσφαλῆ κτῆσιν τῆς οὕτω εὑρεθείσης ἀληθείας· οὕτω τοίνυν καὶ ἡμᾶς χρή διδάσκειν, οὐχί τήν ἀλήθειαν αὐτήν, ἥ ἡμῖν δοκεῖ, εὐθὺς ἀρχομένους λέγειν, ἀλλὰ διαλεγομένους τοῖς παισίν ἱκανούς καθιστάναι αὐτούς πρὸς εὕρεσιν ταύτης. Καὶ πράγματι οὐδέν ἐστι λυσιτελέστερον τούτου καὶ μονιμώτερον καὶ ἐμμονώτερον, αἱ γάρ ταύτῃ κτηθεῖσαι γνώσεις τε καὶ ἐπιστῆμαι καὶ ἐμπειρίαι εἰώθασιν ἐπὶ μακρὸν διαμένειν καὶ καρπόν πολὺν φέρειν, αἱ δ' ἐκ τοῦ παραχρῆμα καὶ ἀβασανίστως κεκτημέναι τοὐναντίον ταχέως φεύγουσι καταλείποντες ἡμᾶς εἰς τὴν προτέραν ἄγνον καὶ στεῖραν τῶν διανοητικῶν δυνάμεων κατάστασιν. Ὁ ἡμέτερος οὖν φιλόσοφος οὐ μόνον περί πλείστου ἐποιήσατο τὴν ἀλήθειαν αὐτήν ἡμῖν ὑποδεῖξαι, ἀλλὰ καὶ τὸν τρόπον, ᾧτινι χρωμένοις ἡμῖν ἔξεστιν ἀσφαλῶς καὶ ἐπ' ὠφελίᾳ τῶν τε διανοητικῶν καὶ ψυχικῶν ἡμῶν δυνάμεων εὑρεῖν τὴν τε ζητουμένην ἐν τῷ παρόντι ἀλήθειαν καὶ ἐν

τῷ μέλλοντι ἱκανούς ἡμᾶς καθιστάναι πρὸς τὸ ἔργον τοῦτο τῆς ἀνθρωπίνης γνώσεώς τε καί φιλοσοφίας.

Ἐκ τούτων δύναταί τις τεκμηριῶσαι ὅτι Πλάτων ἐν τῷ Σωκράτει τοῦ Συμποσίου δείκνυσιν ἡμῖν μᾶλλον τὸν τρόπον, καθ' ὃν δεῖ ἐπιχειρεῖν τῆς εὑρέσεως τῆς ἀληθείας ἤ αὐτὴν τὴν ἀλήθειαν ὡς ἔχει τε καὶ οἵα ἐστίν. Ἔργον οὖν τῆς παιδαγωγικῆς ἐστι κύριον καθ' ἡμᾶς περί ἐλαχίστου μὲν ποιεῖσθαι τὰς ἀποκτωμένας γνώσεις περὶ πλείστου δὲ τὸν τρόπον ἤτοι τὴν μέθοδον τῆς διδασκαλίας, ἥ ἀκολουθοῦντες δυνάμεθα οὐ μόνον τάς ἐφημέρους καὶ εἰς τό παρὸν ἀναφερομένας γνώσεις ἰδιοποιεῖσθαι, ἀλλ' ὅπερ καὶ κύριον, πῶς δεῖ ἡμᾶς παντὸς ἔργου ἅπτεσθαι πρὸς ἀσφαλῆ καὶ βεβαίαν ἀπόκτησιν καὶ εὕρεσιν τῆς ἀληθείας ἐν παντί μαθεῖν. Οὐδαμῶς δὲ ἀμφιβάλλειν ἡμᾶς δεῖ ὅτι νοῦς ὑγιής καὶ γεγυμνασμένος καὶ ἱκανῶς ἐξησκημένος μείζονος ἀξιός ἐστιν ἤ νοῦς πολυμαθής καὶ πάσης σοφίας μεστός, ἀλλὰ λογικῶς καὶ κριτικῶς ἀνίκανος πρὸς ἔλεγχον καὶ εὕρεσιν καὶ λύσιν παντός παρουσιαζομένου ζητήματος καὶ ἑπομένως οὐκ ἀσφαλής κριτής τῶν τε ἀνθρωπίνων καὶ τῶν ὑπὲρ ἄνθρωπον πραγμάτων.

„Πολυμαθίη νόον οὐ διδάσκει".

Οὐ μόνον γνώσεις μεταδιδόναι, ἀλλ' ὅπερ τιμιώτερον τὴν διάνοιαν μορφοῦν εἰδολογικῶς προὐτίθετο Σωκράτης διανοητικὴν δύναμιν ἐμποιῆσαι βουλόμενος, ἵνα ὁ παῖς ἱκανός γένηται οὐ μόνον γινώσκειν, ἀλλά καὶ δύνασθαι. Ὁ γάρ Σωκράτης, ὁ σοφώτατος πάντων ἀνδρῶν, οὐκ ἦν πολυμαθής, ἀλλ' ἱκανός κρίνειν περί παντός ὁμοίως καί διαλέγεσθαι, ὡς ἐν τοῖς τοῦ Πλάτωνος διαλόγοις ἔστιν ἡμῖν ἰδεῖν. Αὐτενέργεια ὅθεν περί πλείστου ποιητέα ἐν τῇ διδασκαλίᾳ, ἥτις δι' ἐρωτηματικῆς μορφῆς ἐπιτυγχάνεται προκαλοῦσα τὴν εὕρεσιν τοῦ ζητουμένου καὶ τήν χαρὰν τῆς εὑρέσεως τῷ μαθητῇ καταλείπουσα. Ἁμάρτημα οὖν μέγα διαπράττουσιν οἱ τῶν παίδων διδάσκαλοι, οἵτινες πολλάς καὶ παντοδαπάς γνώσεις τε καὶ ἐμπειρίας ἐπισωρεύουσιν ἐπὶ τῆς διανοίας τῶν μαθητῶν ἀφροντιστοῦντες τῆς ἱκανότητος τοῦ ἀντιλαμβάνεσθαι τῶν παίδων καὶ τοῦ ποσοῦ τῶν ἐν ἑκάστῃ ἡλικίᾳ ἀποκτηθησομένων γνώσεων· τούτου ἕνεκα ἔστιν ἰδεῖν πολλάκις μαθητάς νηπίους ἔτι τὴν ἡλικίαν, ἀλλά φιλοσόφους καὶ ἡλικιωμένους τὰ φρονήματα,

ὅπερ μαρτυρεῖ τὸ ἐπιπόλαιον, σχολαστικόν, ἀβαθές καὶ τὸν ψιττακισμὸν λέξεων καὶ ἐννοιῶν ἀφῃρημένων καὶ ἀκαταλήπτων αὐτοῖς. Ἐνταῦθα δὲ ἔγκειται ἡ ἀποτυχία πολλῶν διδασκόντων ἀεροβατούντων οὕτως εἰπεῖν.

Πᾶσα οὖν ὀρθή, ἀληθής καὶ ὑγιὴς διδασκαλία δεῖ βαίνειν ἐπὶ τῶν πλατωνικῶν τούτων ἀρχῶν ἐκ τῆς διαλεκτικῆς ὁδοῦ ὁρμωμένη, τουτέστι τῆς σωκρατικῆς μαιευτικῆς, ἧς κάλλιστον παράδειγμα ἐν τῷ Συμποσίῳ ἡμῖν πρόκειται.

Ταῦτα ἔστιν ἡμῖν καρπώσασθαι ἐπ' ὠφελίᾳ τῆς παιδαγωγικῆς ἐκ τοῦ πλατωνικοῦ Συμποσίου καὶ ταῦτα κατὰ νοῦν ἔχοντας βεβαίως καὶ λυσιτελῶς προβαίνειν εἰς τὴν τῶν θεῶν ὑπηρεσίαν, τὴν τῶν παίδων ἐπιμέλειάν τε καὶ ἀγωγήν, ἧς ἄνευ οὔτε πόλεις οὔτε ἔθνη εὐημεροῦσι.

Πάνυ οὖν παρήγορον καὶ παραμυθητικὸν ἡμῖν τυγχάνει βλέπουσιν ἐν τῇ πεφιλημένῃ ἡμῖν Γερμανίᾳ ὅτι αἱ πλατωνικαί αἵται ἀρχαί καὶ παιδαγωγικαὶ ὑποθῆκαι μετ' εὐλαβείας καὶ πλείστης ἐπιμελείας τηροῦνται καὶ ἐφαρμόζονται καὶ οὕτω πληθυνομένης τῆς γνώσεως καὶ ἐπὶ ἠθικῆς καὶ ὑγιοῦς βάσεως ἑδραζομένης διὰ τῆς ἱδρύσεως καὶ ἀνεγέρσεως νέων ὁσημέραι ἐκπαιδευτηρίων κλείεται δεσμωτήριον καὶ φυλακή τις κακούργων· καὶ ἐνταῦθα ἔγκειται τὸ μεγαλεῖον ἔθνους τινός, ἐν τῇ καταῤῥίψει δηλονότι τῶν φυλακῶν καὶ ἀνιδρύσει διδασκαλείων. Χάριτας οὖν ὀφείλομεν εἰδέναι τῷ Γερμανικῷ ἔθνει ὑπὲρ ὧν καί ἐν τῇ παιδαγωγικῇ ἐπιστήμῃ ἀξιομιμήτων καί ζηλωτῶν παραδειγμάτων ἡμῖν παρέχει καὶ ὑπὲρ τῆς διατηρήσεως καὶ διασώσεως τῶν παιδαγωγικῶν κειμηλίων τῆς Πλατωνικῆς παιδαγωγικῆς, ἥτις ἴσως σύν ἄλλοις ἑλληνικοῖς κειμηλίοις τεθαμμένη διετέλει ἂν σήμερον.

Πᾶσα οὖν πολιτεία ἐπὶ τῶν πλατωνικῶν τούτων ἀρχῶν τήν διαπαιδαγώγησιν τῶν παίδων στηρίζουσα δύναται ἀδεῶς οὐ μόνον ἐν τῷ παρόντι εὐημερεῖν τε καὶ ζηλωτόν παράδειγμα τοῖς λαοῖς τῆς οἰκουμένης γενέσθαι, ἀλλὰ καὶ ἐν τῷ μέλλοντι ὄνομα καὶ φήμην ἀγαθήν καταλιπεῖν τοῖς μεταγενεστέροις, οὗ κάλλιον καὶ ἄμεινον οὐδέν ἐστι παρ' ἀνθρώποις. Ταῦτα δέ πάντα ἐπιτυγχάνονται καὶ τούτων πάντων αἴτιος ὁ διδάσκαλός ἐστιν, ἐάν οὗτος χαρακτῆρα ἀξιωματικόν καὶ πρότυπον δι' ἠθικοῦ Ἔρωτος ὡς ὁ Σωκράτης τοῦ Συμποσίου κέκτηται καὶ δι' ὑπομονῆς, ἐπιότητος,

δικαιοσύνης, φιλοπατρίας, ἀληθοῦς θρησκευτικοῦ αἰσθήματος, προαγωγικοῦ φρονήματος καὶ ἐλλείψεως ἀξιώσεων καὶ μετριοφροσύνης ἐφωδιασμένος ᾖ καὶ ζήλου ὑπὲρ τοῦ διδασκαλείου καὶ ἀγάπης πρὸς τοὺς μαθητάς καὶ ἀφοσιώσεως εἰς τό διδασκαλικόν ἐπάγγελμα, ἐν ᾧ ἀνεκτίμητος ἀμοιβή ἔσται αὐτῷ ἡ τὴν εὐχαρίστησιν ἐν ἑαυτῇ εὑρίσκουσα συνείδησις, ἡ συναίσθησις δηλαδή τῆς ὑπηρεσίας αὐτοῦ, ἥτις ἐστί λατρεία τοῦ θεοῦ καὶ τῶν ἀνθρώπων.

Ἐν τέλει ἄδικον ἂν εἴη μή ὁμολογῆσαι ἀλήθειάν τινα καὶ Ἀρνόλδον εἰρηκέναι ἐν τοῖς ἑξῆς·

„Man sagt: wenn der Geist im Alterthum weilt, so lebe er im reinen Aether, im Idealen, alles sei sonnenhell; in der Gegenwart der gemeinen Wirklichkeit, sei es aber nur trübe, dumpfig, trivial, man athme schwere, ungesunde Dünste ein. Wahr ist nur, dass das Alterthum viel des Unvergänglichen und Herrlichen; viel in Kunst und Wissenschaften, für alle Zeiten gültig, überliefert hat, dass grosse Männer dort glänzen und als Muster dienen können; aber nicht ist dort nur das Höchste, Einzige, zu erblicken, jenes nicht von den schlimmsten Uebeln in Vielem frei.“[1])

Φοβούμενοι τό ρητόν „μέγα βιβλίον μέγα κακόν“ ἀρκούμεθα τοῖς μέχρι τοῦδε εἰρημένοις τοῦτο μόνον προστιθέντες ὅτι εἰ μέν τι καλῶς καὶ ὀρθῶς ἡμῖν εἴρηται, τοῦτο τοῖς διδάξασιν ἡμᾶς καθηγηταῖς ὀφείλεται, εἰ δέ τι μή ὀρθῶς ἔχον ἐν τῇ παρούσῃ πραγματείᾳ εὕρηται καὶ εἴ τι σπουδῆς καὶ μνείας ἄξιον παριδόντες παρεδράμομεν, τοῦτο τῇ ἀπειρίᾳ ἡμῶν συγκαταριθμητέον μεμνημένους τοῦ Πλατωνικοῦ·

„ἦ τοι τῆς διανοίας ὄψις ὀρχεται ὀξύ βλέπειν, ὅταν ἡ τῶν ὀμμάτων τῆς ἀκμῆς λήγειν ἐπιχειρῇ“ Συμπ. 219 A καὶ τοῦ τοῦ Θεόγνιδος·

„Οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός“.

ΤΕΛΟΣ

---

1) Arnold, Plato's Werke erklärt, Erfurt 1855.

ΣΗΜΕΙΩΣΙΣ. *Τοῦ Γερμανοῦ στοιχειοθέτου τὴν Ἑλληνικὴν γλῶσσαν οὐκ ἐπισταμένου τὸ πόνημα ἡμῶν οὐ πάντη τυπογραφικῶν ἁμαρτημάτων ἀπηλλακται.*